Ce discours a été expliqué littéralement, traduit en français et annoté par E. Sommer, agrégé des classes supérieures, docteur ès lettres.

A LA MÊME LIBRAIRIE

Démosthène, expliqué par deux traductions françaises, l'une littérale et *juxtalinéaire*, l'autre correcte et précédée du texte grec. Format in-16, broché :

Discours contre la loi de Leptine, par M. Stiévenart.	3 50
Discours sur la couronne, ou pour Ctésiphon, par M. Sommer.	3 50
Harangue sur les prévarications de l'ambassade, par M. Stiévenart	6 »
Olynthiennes (les trois) par M. Leprévost.	1 50
Philippiques (les quatre), par MM. Lemoine et Sommer.	2 »
La première Philippique, séparément.	» 60

Imprimerie A. Dersé 9, rue Édouard-Jacques à Paris

LES AUTEURS GRECS

EXPLIQUÉS D'APRÈS UNE MÉTHODE NOUVELLE

PAR DEUX TRADUCTIONS FRANÇAISES

L'UNE LITTÉRALE ET JUXTALINÉAIRE PRÉSENTANT LE MOT A MOT FRANÇAIS
EN REGARD DES MOTS GRECS CORRESPONDANTS
L'AUTRE CORRECTE ET PRÉCÉDÉE DU TEXTE GREC

avec des arguments et des notes

PAR UNE SOCIÉTÉ DE PROFESSEURS
ET D'HELLÉNISTES

DÉMOSTHENE

DISCOURS SUR LA COURONNE

PARIS
LIBRAIRIE HACHETTE ET Cie
79, BOULEVARD SAINT-GERMAIN, 79

1916

AVIS

RELATIF A LA TRADUCTION JUXTALINÉAIRE

On a réuni par des traits les mots français qui traduisent un seul mot grec.

On a imprimé en *italique* les mots qu'il était nécessaire d'ajouter pour rendre intelligible la traduction littérale, et qui n'ont pas leur équivalent dans le grec.

Enfin, les mots placés entre parenthèses, dans le français, doivent être considérés comme une seconde explication, plus intelligible que la version littérale.

ARGUMENT ANALYTIQUE

DU DISCOURS SUR LA COURONNE.

Les villes grecques venaient de déclarer la guerre à Philippe, en 338 avant J. C., lorsque les Athéniens, craignant d'être attaqués chez eux par les armées macédoniennes, chargèrent Démosthène du soin de faire réparer leurs murailles. Ce grand orateur s'acquitta dignement de cette tâche, et fit même creuser à ses frais deux fossés autour du Pirée. Une partie de son patrimoine avait été sacrifiée à l'intérêt de sa patrie. Pour le récompenser de son dévouement, un citoyen, nommé Ctésiphon, proposa au sénat de lui décerner une couronne d'or et de prononcer son éloge aux fêtes de Bacchus. Eschine, depuis longtemps ennemi de Démosthène, s'opposa à ce décret. Il accusa Ctésiphon d'avoir violé les lois en demandant de tels honneurs pour un magistrat qui n'avait pas encore rendu ses comptes, pour un homme qui, disait-il, était la cause des malheurs d'Athènes. Démosthène répondit à ces attaques par sa fameuse harangue sur la Couronne. Les deux discours furent prononcés huit ans après la bataille de Chéronée. Toute la Grèce assistait à ce débat. Eschine fut vaincu, et dut sortir d'Athènes. Il se retira dans l'île de Rhodes, où il fonda cette école de rhétorique, qui devint depuis si célèbre.

ΔΗΜΟΣΘΕΝΟΥΣ

Ο ΠΕΡΙ ΤΟΥ ΣΤΕΦΑΝΟΥ

ΛΟΓΟΣ.

Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς θεοῖς εὔχομαι πᾶσι καὶ πάσαις, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ τὸν ἀγῶνα· ἔπειθ', ὅπερ ἐστὶ μάλισθ' ὑπὲρ ὑμῶν, καὶ τῆς ὑμετέρας εὐσεβείας τε καὶ δόξης, τοῦτο παραστῆσαι τοὺς θεοὺς ὑμῖν, μὴ τὸν ἀντίδικον σύμβουλον ποιήσασθαι περὶ τοῦ πῶς ἀκούειν ὑμᾶς ἐμοῦ δεῖ (σχέτλιον γὰρ ἂν εἴη τοῦτό γε), ἀλλὰ τοὺς νόμους, καὶ τὸν ὅρκον, ἐν ᾧ, πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις, καὶ τοῦτο γέγραπται, τὸ ὁμοίως ἀμφοῖν ἀκροάσασθαι. Τοῦτο δ' ἐστὶν οὐ μόνον τὸ μὴ προκατεγνωκέναι μηδέν, οὐδὲ τὸ τὴν εὔνοιαν ἴσην ἀμφοτέροις ἀποδοῦναι, ἀλλὰ καὶ τὸ τῇ τάξει καὶ τῇ ἀπολογίᾳ, ὡς

Je commence, Athéniens, par prier tous les dieux et toutes les déesses de me faire trouver auprès de vous, dans cette lutte, la bienveillance que je n'ai jamais cessé de montrer et pour la république et pour vous tous ; je leur demande encore de vous inspirer une résolution qui est de votre intérêt, de votre religion, de votre gloire, c'est de ne pas prendre mon adversaire pour juge de la manière dont vous devez m'entendre (car ce serait en vérité trop cruel), mais les lois, mais le serment, dans lequel, entre autres dispositions justes, il est écrit qu'il faut écouter les deux parties avec une égale impartialité, c'est-à-dire, non-seulement ne rien préjuger d'avance et accorder à tous les deux une égale attention, mais encore laisser chacun des

DÉMOSTHENE.

DISCOURS

SUR LA COURONNE.

Πρῶτον μέν, ὦ ἄνδρες Ἀθηναῖοι,	D'abord, ô hommes Athéniens,
εὔχομαι πᾶσι τοῖς θεοῖς	je prie tous les dieux
καὶ πάσαις,	et toutes *les déesses*,
τοσαύτην εὔνοιαν	une aussi-grande bienveillance
ὑπάρξαι μοι παρὰ ὑμῶν	être à moi de-la-part de vous
εἰς τουτονὶ τὸν ἀγῶνα,	pour cette lutte,
ὅσην ἐγὼ διατελῶ ἔχων	que-celle-que je persévère ayant
τῇ τε πόλει καὶ ὑμῖν πᾶσιν·	et *pour* la ville et *pour* vous tous ;
ἔπειτα, τοὺς θεοὺς	ensuite, les dieux
παραστῆσαι ὑμῖν τοῦτο	suggérer à vous ceci
ὅπερ ἐστὶ μάλιστα ὑπὲρ ὑμῶν,	qui est surtout dans-l'intérêt-de vous,
καὶ τῆς ὑμετέρας εὐσεβείας τε	et de votre piété
καὶ δόξης,	et de *votre* gloire,
μὴ ποιήσασθαι τὸν ἀντίδικον	de ne pas faire l'adversaire
σύμβουλον περὶ τοῦ πῶς δεῖ	conseiller sur le comment il-faut
ὑμᾶς ἀκούειν ἐμοῦ	vous entendre moi
(τοῦτο γὰρ ἂν εἴη γε σχέτλιον),	(car cela serait certes dur),
ἀλλὰ τοὺς νόμους,	mais les lois,
καὶ τὸν ὅρκον, ἐν ᾧ [1],	et le serment dans lequel,
πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις,	outre toutes les autres *choses* justes
καὶ τοῦτο γέγραπται,	encore ceci a-été-écrit,
τὸ ἀκροάσασθαι ὁμοίως ἀμφοῖν.	le entendre également les deux.
Τοῦτο δέ ἐστιν οὐ μόνον	Or cela est non-seulement
τὸ μὴ προκατεγνωκέναι μηδέν,	le n'avoir-préjugé rien,
οὐδὲ τὸ ἀποδοῦναι ἀμφοτέροις	ni le avoir-accordé aux deux
τὴν εὔνοιαν ἴσην,	la bienveillance égale,
ἀλλὰ καὶ τὸ ἐᾶσαι	mais aussi le avoir-permis
χρήσασθαι τῇ τάξει	se servir du-plan
καὶ τῇ ἀπολογίᾳ,	et de la justification

βεβούληται καὶ προῄρηται τῶν ἀγωνιζομένων ἕκαστος, οὕτως ἐᾶσαι χρήσασθαι.

Πολλὰ μὲν οὖν ἔγωγ' ἐλαττοῦμαι, κατὰ τουτονὶ τὸν ἀγῶνα, Αἰσχίνου· δύο δ', ὦ ἄνδρες Ἀθηναῖοι, καὶ μεγάλα. Ἓν μέν, ὅτι οὐ περὶ τῶν ἴσων ἀγωνίζομαι· οὐ γάρ ἐστιν ἴσον νῦν ἐμοὶ τῆς παρ' ὑμῶν εὐνοίας διαμαρτεῖν, καὶ τούτῳ μὴ ἑλεῖν τὴν γραφήν· ἀλλ' ἐμοὶ μέν..... Οὐ βούλομαι δὲ δυσχερὲς εἰπεῖν οὐδέν, ἀρχόμενος τοῦ λόγου· οὗτος δ' ἐκ περιουσίας μου κατηγορεῖ. Ἕτερον δ', ὃ φύσει πᾶσιν ἀνθρώποις ὑπάρχει, τῶν μὲν λοιδοριῶν καὶ τῶν κατηγοριῶν ἀκούειν ἡδέως, τοῖς ἐπαινοῦσι δ' αὐτοὺς ἄχθεσθαι. Τούτων τοίνυν, ὃ μέν ἐστι πρὸς ἡδονήν, τούτῳ δέδοται· ὃ δὲ πᾶσιν, ὡς ἔπος εἰπεῖν, ἐνοχλεῖ, λοιπὸν ἐμοί. Κἂν μὲν εὐλαβούμενος τοῦτο μὴ λέγω τὰ πεπραγμένα ἐμαυτῷ, οὐκ ἔχειν ἀπολύ-

adversaires entièrement libre dans la marche et les moyens de défense qu'il aura choisis et adoptés.

Eschine a bien des avantages sur moi dans cette lutte, mais deux surtout, Athéniens, et deux très-grands : le premier, c'est que nos risques ne sont pas les mêmes ; car il est bien d'une autre importance pour moi de perdre votre bienveillance, que pour lui de ne pas faire triompher l'accusation. Je suis exposé, moi... je ne veux rien dire de pénible en commençant à vous parler ; mais enfin Eschine ici n'a rien à perdre. Le second avantage qu'il possède, c'est le penchant naturel à tous les hommes de prêter volontiers l'oreille aux accusations et aux invectives, et d'écouter avec peine ceux qui se louent eux-mêmes Eschine a donc pour lui ce qui plaît, et il ne me reste que ce qui est, pour ainsi dire, à charge à tous. Si, par un sentiment de crainte, je passe sous silence ce que j'ai fait, il semblera

οὕτως ὡς	ainsi que
ἕκαστος τῶν ἀγωνιζομένων	chacun des combattants
βεβούληται καὶ προῄρηται.	a décidé et a préféré.
Ἔγωγε μὲν οὖν,	Moi-certes donc,
κατὰ τουτονὶ τὸν ἀγῶνα,	dans ce procès,
ἐλαττοῦμαι Αἰσχίνου	je suis-inférieur à Eschine
πολλά·	*en* de nombreuses choses ;
δύο δέ, καὶ μεγάλα,	mais *en* deux, et grandes,
ὦ ἄνδρες Ἀθηναῖοι.	ô hommes Athéniens.
Ἓν μέν, ὅτι οὐκ ἀγωνίζομαι	L'une, que je ne lutte pas
περὶ τῶν ἴσων·	pour des choses égales ;
οὐ γάρ ἐστιν ἴσον	car il n'est pas égal
νῦν ἐμοὶ	maintenant *pour* moi
διαμαρτεῖν τῆς εὐνοίας	de manquer de la bienveillance
παρὰ ὑμῶν, καὶ τούτῳ	de-la-part de vous, et *pour* celui-ci
μὴ ἑλεῖν τὴν γραφήν·	de ne pas emporter l'accusation ;
ἀλλὰ ἐμοὶ μέν...	mais *pour* moi...
Οὐ βούλομαι δὲ εἰπεῖν	Mais je ne veux dire
οὐδὲν δυσχερές,	rien de fâcheux,
ἀρχόμενος τοῦ λόγου·	commençant le discours ;
οὗτος δὲ κατηγορεῖ μου	mais celui-ci accuse moi
ἐκ περιουσίας.	de (en risquant) *son* superflu.
Ἕτερον δέ, ὃ ὑπάρχει φύσει	Et l'autre chose, qui existe *par* nature
πᾶσιν ἀνθρώποις,	*chez* tous les hommes,
ἀκούειν μὲν ἡδέως	entendre avec-plaisir
τῶν λοιδοριῶν	les injures
καὶ τῶν κατηγοριῶν,	et les accusations,
ἄχθεσθαι δὲ	mais être importunés
τοῖς ἐπαινοῦσιν αὐτούς.	de ceux louant eux-mêmes.
Τούτων τοίνυν,	De ces choses donc,
ὃ μέν ἐστι πρὸς ἡδονὴν	*celle* qui est pour le plaisir
δέδοται τούτῳ·	a-été-donnée à celui-ci ;
ὃ δέ, ὡς εἰπεῖν ἔπος,	mais *celle* qui, pour dire le mot,
ἐνοχλεῖ πᾶσι,	importune tous,
λοιπὸν ἐμοί.	*est* restant à moi.
Καὶ ἂν μὲν εὐλαβούμενος τοῦτο	Et si d'un-côte redoutant cela
μὴ λέγω	je ne dis pas
τὰ πεπραγμένα	les *actions* ayant-été-faites
ἐμαυτῷ,	*par* moi-même,
δόξω οὐκ ἔχειν	je paraîtrai ne pas avoir

σασθαι τὰ κατηγορημένα δόξω, οὐδ' ἐφ' οἷς ἀξιῶ τιμᾶσθαι, δεικνύναι· ἂν δ' ἐφ' ἃ καὶ πεποίηκα καὶ πεπολίτευμαι, βαδίζω, πολλάκις λέγειν ἀναγκασθήσομαι περὶ ἐμαυτοῦ. Πειράσομαι μὲν οὖν ὡς μετριώτατα τοῦτο ποιεῖν· ὅ τι δ' ἂν τὸ πρᾶγμα αὐτὸ ἀναγκάζῃ, τούτου τὴν αἰτίαν οὗτός ἐστι δίκαιος ἔχειν, ὁ τοιοῦτον ἀγῶνα ἐνστησάμενος.

Οἶμαι δ' ὑμᾶς, ὦ ἄνδρες δικασταί, πάντας ἂν ὁμολογῆσαι κοινὸν εἶναι τουτονὶ τὸν ἀγῶνα ἐμοί τε καὶ Κτησιφῶντι, καὶ οὐδὲν ἐλάττονος ἄξιον σπουδῆς ἐμοί. Πάντων μὲν γὰρ ἀποστερεῖσθαι λυπηρόν ἐστι καὶ χαλεπόν, ἄλλως τε κἂν ὑπ' ἐχθροῦ τῳ τοῦτο συμβαίνῃ, μάλιστα δὲ τῆς παρ' ὑμῶν εὐνοίας τε καὶ φιλανθρωπίας, ὅσῳ περ καὶ τὸ τυχεῖν τούτων μέγιστόν ἐστι. Περὶ τούτων δ' ὄντος τουτουὶ τοῦ ἀγῶνος, ἀξιῶ καὶ δέομαι πάντων ὁμοίως ὑμῶν ἀκοῦσαί μου, περὶ τῶν κατηγορημένων ἀπο-

que je ne puisse me laver de l'accusation, ni montrer mes titres à une récompense; si je touche à mes actes et à ma conduite politique, je serai souvent obligé de parler de moi. Je m'efforcerai de le faire avec le plus de discrétion possible; et quand la circonstance elle-même l'exigera, il est juste d'en rapporter la cause à celui qui a engagé ce débat.

Vous avouerez tous, je l'espère, ô juges, que cette cause m'est commune avec Ctésiphon, et que je dois m'y intéresser autant que lui: car, s'il est douloureux et pénible d'être privé d'un bien quelconque, plus pénible encore de l'être par un ennemi, il est d'autant plus dur de perdre votre bienveillante amitié, que le plus grand des biens est de l'acquérir. Puisque telle est la nature de ce débat, je vous prie et vous conjure tous d'écouter ma défense avec les dispositions équita-

ἀπολυσασθαι	à dissiper
τὰ κατηγορημένα,	les choses ayant-été-dites-contre *moi*,
οὐδὲ δεικνύναι	ni à montrer
ἐπὶ οἷς	*les faits* pour lesquels
ἀξιῶ τιμᾶσθαι·	je demande à être-récompensé;
ἂν δὲ βαδίζω ἐπὶ ἃ	mais si je vais aux choses que
καὶ πεποίηκα καὶ πεπολίτευμαι,	et j'ai faites et j'ai administrées,
ἀναγκασθήσομαι	je serai forcé
λέγειν πολλάκις περὶ ἐμαυτοῦ.	de parler souvent sur moi-même.
Πειράσομαι μὲν οὖν	Je tâcherai donc
ποιεῖν τοῦτο ὡς μετριώτατα·	de faire cela le plus modérément,
οὗτος δέ,	mais celui-ci,
ὁ ἐνστησάμενος τοιοῦτον ἀγῶνα,	celui ayant-suscité un tel débat,
ἐστὶ δίκαιος	est juste
ἔχειν τὴν αἰτίαν τούτου,	d'avoir l'imputation de cela,
ὅ τι τὸ πρᾶγμα αὐτὸ ἂν ἀναγκάζῃ.	que la chose même forcerait *de dire*.
Οἶμαι δὲ ὑμᾶς πάντας,	Or je pense vous tous,
ὦ ἄνδρες δικασταί,	ô hommes juges,
ἂν ὁμολογῆσαι	devoir-avouer
τουτονὶ τὸν ἀγῶνα εἶναι κοινὸν	ce débat être commun
ἐμοί τε καὶ Κτησιφῶντι,	et à moi et à Ctésiphon,
καὶ ἄξιον ἐμοὶ	et digne pour moi
σπουδῆς οὐδὲν ἐλάττονος.	d'un soin *en* rien moindre.
Ἀποστερεῖσθαι μὲν γὰρ πάντων	Car être-dépouillé de toutes choses
ἐστὶ λυπηρὸν καὶ χαλεπόν,	est affligeant et fâcheux,
ἄλλως τε καὶ	et autrement encore
ἂν τοῦτο συμβαίνῃ τῳ	si cela arrive à quelqu'un
ὑπὸ ἐχθροῦ,	par un ennemi,
μάλιστα δὲ	mais surtout *être dépouillé*
τῆς εὐνοίας τε	et de la bienveillance
καὶ φιλανθρωπίας παρὰ ὑμῶν,	et de l'affection de-la-part-de vous,
ὅσῳ περ καὶ	d'autant qu'aussi
τὸ τυχεῖν τούτων ἐστὶ μέγιστον.	le avoir-obtenu elles est très-grande
Τουτουὶ δὲ τοῦ ἀγῶνος	Or ce débat
ὄντος περὶ τούτων,	étant sur ces choses,
ἀξιῶ καὶ δέομαι	je prie et je supplie
πάντων ὑμῶν ὁμοίως	vous tous également
ἀκοῦσαί μου, ἀπολογουμένου	d'écouter moi, me-justifiant
περὶ τῶν	sur les choses
κατηγορημένων,	ayant-été-dites-contre *moi*,

λογουμένου, δικαίως ὥςπερ οἱ νόμοι κελεύουσιν· οὓς ὁ τιθεὶς ἐξαρχῆς Σόλων, εὔνους ὢν ὑμῖν καὶ δημοτικός, οὐ μόνον τῷ γράψαι κυρίους ᾤετο δεῖν εἶναι, ἀλλὰ καὶ τῷ τοὺς δικάζοντας ὑμᾶς ὀμωμοκέναι· οὐκ ἀπιστῶν ὑμῖν, ὥς γ' ἐμοὶ φαίνεται, ἀλλ' ὁρῶν ὅτι τὰς αἰτίας καὶ τὰς διαβολάς, αἷς ἐκ τοῦ πρότερος λέγειν ὁ διώκων ἰσχύει, οὐκ ἔνι τῷ φεύγοντι παρελθεῖν, εἰ μὴ τῶν δικαζόντων ἕκαστος ὑμῶν, τὴν πρὸς τοὺς θεοὺς εὐσέβειαν διαφυλάττων, καὶ τὰ τοῦ ὑστέρου λέγοντος δίκαια εὐνοϊκῶς προσδέξεται, καὶ παρασχὼν ἑαυτὸν ἴσον καὶ κοινὸν ἀμφοτέροις ἀκροατήν, οὕτω τὴν διάγνωσιν ποιήσεται περὶ πάντων.

Μέλλων δὲ τοῦ τε ἰδίου βίου παντός, ὡς ἔοικε, λόγον διδόναι τήμερον, καὶ τῶν κοινῇ πεπολιτευμένων, βούλομαι, καθάπερ ἐν ἀρχῇ, πάλιν τοὺς θεοὺς παρακαλέσαι· καὶ ἐναντίον ὑμῶν εὔχομαι, πρῶτον μέν, ὅσην εὔνοιαν ἔχων ἐγὼ διατελῶ τῇ τε πόλει καὶ πᾶσιν ὑμῖν, τοσαύτην ὑπάρξαι μοι παρ' ὑμῶν εἰς τουτονὶ

bles ordonnées par ces lois, que le législateur Solon, si bienveillant pour vous et si populaire, ne s'est pas contenté d'écrire, mais qu'il a voulu confirmer encore par le serment des juges; non, sans doute, qu'il se défiât de vous; mais il voyait que l'accusation et la calomnie, en paraissant les premières, auraient trop de force pour que l'accusé pût les vaincre, si chacun des juges, plein de scrupules et de religion, n'accueillait favorablement les raisons de celui qui parle le dernier, et ne prêtait ainsi à l'un et à l'autre une oreille également impartiale, afin de porter un jugement équitable sur l'ensemble du débat.

Devant rendre compte aujourd'hui de ma vie privée tout entière, ainsi que de ma vie politique, je veux, comme au début de mon discours, invoquer encore une fois les dieux. Devant vous je leur demande, d'abord de me faire trouver dans cette lutte, auprès de mes juges, la bienveillance que je n'ai jamais cessé de montrer pour la

δικαίως ὥςπερ οἱ νόμοι κελεύουσιν·	justement comme les lois ordonnent;
οὓς ὁ τιθεὶς	lesquelles celui *les* établissant
ἐξαρχῆς, Σόλων,	dès-le-principe, Solon,
ὢν εὔνους ὑμῖν	étant bienveillant *pour* vous
καὶ δημοτικός,	et ami-du-peuple,
ᾤετο δεῖν εἶναι κυρίους	pensa falloir être maîtresses,
οὐ μόνον τῷ γράψαι,	non-seulement *par* le avoir-écrit,
ἀλλὰ καὶ τῷ	mais encore *par* le
ὑμᾶς τοὺς δικάζοντας ὀμωμοκέναι·	vous les jugeant avoir-juré;
οὐκ ἀπιστῶν ὑμῖν,	ne se-défiant pas de vous,
ὥς γε φαίνεται ἐμοί,	comme du-moins il paraît à moi,
ἀλλὰ ὁρῶν ὅτι οὐκ ἔνι	mais voyant qu'il n'est pas *possible*
τῷ φεύγοντι [3]	à celui fuyant *l'accusation*
παρελθεῖν τὰς αἰτίας	d'éviter les imputations
καὶ τὰς διαβολάς,	et les calomnies,
αἷς ὁ διώκων ἰσχύει	*par* lesquelles l'accusateur est-fort
ἐκ τοῦ λέγειν πρότερος,	par-suite du parler le premier,
εἰ ἕκαστος ὑμῶν τῶν δικαζόντων,	si chacun de vous les jugeant,
διαφυλάττων	conservant-jusqu'au-bout
τὴν εὐσέβειαν πρὸς τοὺς θεούς,	la piété envers les dieux,
καὶ μὴ προσδέξεται εὐνοϊκῶς	et n'accueille avec-bienveillance
τὰ δίκαια	les *choses* justes (les raisons)
τοῦ λέγοντος ὑστέρου,	de celui parlant le dernier,
καὶ παρασχὼν ἑαυτὸν	et ayant-offert soi-même
ἀκροατὴν ἴσον	auditeur égal
καὶ κοινὸν ἀμφοτέροις,	et commun aux deux,
ποιήσεται οὕτω	*ne* se-fait ainsi
τὴν διάγνωσιν περὶ πάντων.	le discernement sur toutes choses.
Μέλλων δέ, ὡς ἔοικε,	Or devant, comme il semble,
διδόναι λόγον τήμερον	donner compte aujourd'hui
τοῦ τε βίου ἰδίου παντὸς	et de la vie privée tout-entière
καὶ τῶν πεπολιτευμένων	et des choses ayant-été-administrées
κοινῇ,	en-public,
βούλομαι,	je veux,
καθάπερ ἐν ἀρχῇ,	comme dans le commencement,
παρακαλέσαι πάλιν τοὺς θεούς·	invoquer de nouveau les dieux;
καὶ εὔχομαι ἐναντίον ὑμῶν,	et je *les* prie en-face de vous,
πρῶτον μέν,	d'abord,
τοσαύτην εὔνοιαν	une aussi-grande bienveillance
ὑπάρξαι μοι παρὰ ὑμῶν	être à moi de-la-part de vous

τὸν ἀγῶνα· ἔπειθ', ὅ τι μέλλει συνοίσειν καὶ πρὸς εὐδοξίαν κοινῇ καὶ πρὸς εὐσέβειαν ἑκάστῳ, τοῦτο παραστῆσαι τοὺς θεοὺς πᾶσιν ὑμῖν περὶ ταυτησὶ τῆς γραφῆς γνῶναι.

Εἰ μὲν οὖν, περὶ ὧν ἐδίωκε, μόνον κατηγόρησεν Αἰσχίνης, κἀγὼ περὶ αὐτοῦ τοῦ προβουλεύματος εὐθὺς ἂν ἀπελογούμην· ἐπειδὴ δ' οὐκ ἐλάττω λόγον, τἄλλα διεξιών, ἀνάλωκε, καὶ τὰ πλεῖστα κατεψεύσατό μου, ἀναγκαῖον εἶναι νομίζω καὶ δίκαιον ἅμα, βραχέα, ὦ ἄνδρες Ἀθηναῖοι, περὶ τούτων πρῶτον εἰπεῖν, ἵνα μηδεὶς ὑμῶν, τοῖς ἔξωθεν λόγοις ἡγμένος, ἀλλοτριώτερον τῶν ὑπὲρ τῆς γραφῆς δικαίων ἀκούῃ μου.

Περὶ μὲν δὴ τῶν ἰδίων, ὅσα λοιδορούμενος βεβλασφήμηκε περὶ ἐμοῦ, θεάσασθε ὡς ἁπλᾶ καὶ δίκαια λέγω. Εἰ μὲν ἴστε με τοιοῦτον οἷον οὗτος ᾠτιᾶτο (οὐ γὰρ ἄλλοθί που βεβίωκα ἢ παρ'

République et pour vous tous; puis, de vous inspirer, dans cette cause, la décision qui s'accordera le mieux avec la gloire de tous et la religion de chacun.

Si Eschine se fût renfermé dans le sujet de son accusation, j'aurais commencé moi-même par justifier le décret qu'il attaque; mais, puisqu'il s'est épuisé en digressions et en déclamations calomnieuses, je crois nécessaire et juste, Athéniens, de dire d'abord quelques mots à ce sujet, de peur que quelqu'un de vous, prévenu par des calomnies étrangères au procès, n'écoute moins favorablement ma défense.

Ainsi donc, abordant ma vie privée, considérez avec quelle simplicité et quelle justesse je réponds à ses invectives. Si vous me connaissez tel qu'il m'a dépeint, car je n'ai pas vécu ailleurs que chez

εἰς τουτονὶ τὸν ἀγῶνα,	pour ce débat,
ὅσην ἐγὼ διατελῶ ἔχων	*que* celle-que je persévère ayant
τῇ τε πόλει καὶ ὑμῖν πᾶσιν·	et *pour* la ville et *pour* vous tous;
ἔπειτα, τοὺς θεοὺς	ensuite, les dieux
παραστῆσαι ὑμῖν πᾶσιν	suggérer à vous tous
γνῶναι περὶ ταυτησὶ τῆς γραφῆς	de décider sur cette accusation
τοῦτο ὅ τι μέλλει συνοίσειν	cela qui doit être-utile
καὶ πρὸς εὐδοξίαν κοινῇ	et pour la gloire en-commun
καὶ πρὸς εὐσέβειαν ἑκάστῳ.	et pour la piété à chacun.
Εἰ μὲν οὖν Αἰσχίνης	Si donc Eschine
κατηγόρησε μόνον	avait dénoncé seulement *les choses*
περὶ ὧν ἐδίωκε,	sur lesquelles il poursuivait,
καὶ ἐγὼ εὐθὺς	aussi moi directement
ἂν ἀπελογούμην	j'aurais justifié
περὶ τοῦ προβουλεύματος αὐτοῦ·	sur le décret-préliminaire même;
ἐπειδὴ δὲ ἀνάλωκε	mais puisqu'il a dépensé
λόγον οὐκ ἐλάττω,	un discours non moindre,
διεξιὼν τὰ ἄλλα,	parcourant les autres *choses*,
καὶ κατεψεύσατό μου	et a dit-faussement-contre moi
τὰ πλεῖστα,	les plus nombreuses,
νομίζω εἶναι ἀναγκαῖον	je pense être nécessaire
καὶ δίκαιον ἅμα,	et juste en-même-temps,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
εἰπεῖν πρῶτον βραχέα	de dire d'abord des *choses* courtes
περὶ τούτων,	sur ces *calomnies*,
ἵνα μηδεὶς ὑμῶν,	afin que personne de vous,
ἡγμένος τοῖς λόγοις	ayant-été-entraîné *par* les discours
ἔξωθεν,	en dehors *de la cause*,
ἀκούῃ μου	n'entende de moi
ἀλλοτριώτερον	plus-défavorablement
τῶν δικαίων ὑπὲρ τῆς γραφῆς.	les choses justes sur l'accusation.
Περὶ μὲν δὴ τῶν ἰδίων,	Certes, sur les *actions* privées,
θεάσασθε ὡς λέγω	considérez comme je dis
ἁπλᾶ καὶ δίκαια,	des choses simples et justes,
ὅσα λοιδορούμενος	*pour* toutes-celles-que injuriant
βεβλασφήμηκε περὶ ἐμοῦ.	il a dites-calomnieusement sur moi
Εἰ μὲν ἴστε με τοιοῦτον	Si vous savez moi tel
οἷον οὗτος ᾠτιᾶτο	que celui-ci accusait
(οὐ γὰρ βεβίωκα	(car je n'ai pas vécu
ἄλλοθί που ἢ παρὰ ὑμῖν),	ailleurs quelque-part que chez vous),

ὑμῖν), μηδὲ φωνὴν ἀνάσχησθε, μηδ' εἰ πάντα τὰ κοινὰ ὑπέρευ πεπολίτευμαι, ἀλλ' ἀναστάντες καταψηφίσασθε ἤδη· εἰ δὲ πολλῷ βελτίω τούτου, καὶ ἐκ βελτιόνων, καὶ μηδενὸς τῶν μετρίων, ἵνα μηδὲν ἐπαχθὲς λέγω, χείρονα καὶ ἐμὲ καὶ τοὺς ἐμοὺς ὑπειλήφατε καὶ γινώσκετε, τούτῳ μὲν μηδ' ὑπὲρ τῶν ἄλλων πιστεύετε· δῆλον γὰρ ὡς ὁμοίως ἅπαντ' ἐπλάττετο· ἐμοὶ δ', ἣν παρὰ πάντα τὸν χρόνον εὔνοιαν ἐνδέδειχθε ἐπὶ πολλῶν ἀγώνων τῶν πρότερον γεγενημένων, καὶ νυνὶ παράσχεσθε. Κακοήθης δ' ὤν, Αἰσχίνη, τοῦτο παντελῶς εὔηθες ᾠήθης, τοὺς περὶ τῶν πεπραγμένων καὶ πεπολιτευμένων λόγους ἀφέντα με, πρὸς τὰς λοιδορίας τὰς παρὰ σοῦ τρέψεσθαι. Οὐ δὴ ποιήσω τοῦτο, οὐχ οὕτω τετύφωμαι· ἀλλ' ὑπὲρ μὲν τῶν πεπολιτευμένων, ἃ κατεψεύδου καὶ διέβαλλες, αὐτίκα ἐξετάσω· τῆς δὲ πομπείας ταύτης τῆς ἀνέδην γεγενημένης, ὕστερον, ἂν βουλομένοις ἀκούειν ᾖ τούτοις, μνησθήσομαι.

vous, fermez-moi la bouche; et mon administration fût-elle irréprochable, levez-vous et condamnez-moi. Mais si vous êtes parfaitement convaincus que, plus honnête que lui, je sors de parents plus honnêtes, que ni moi ni les miens, pour ne rien dire d'odieux, ne le cédons à aucune famille estimable, refusez de l'en croire sur le reste, comme n'ayant avancé partout que des mensonges : pour moi, je réclame en cette occasion la bienveillance que vous m'avez toujours témoignée dans les accusations diverses que j'ai eues à soutenir. Un homme aussi rusé que vous l'êtes, Eschine, a-t-il bien pu être assez simple pour croire que je différerais de justifier mes actions politiques, et que je repousserais d'abord des outrages personnels? non, je ne le ferai point, je ne suis pas si insensé. Je vais examiner, avant tout, les calomnies dont vous noircissez mon administration; et quant à ce torrent d'injures que vous m'avez prodiguées, je m'en occuperai dans un autre temps, si l'on veut bien m'entendre.

μηδὲ ἀνάσχησθε φωνήν,	ne supportez pas *ma* voix,
μηδὲ εἰ πεπολίτευμαι	pas-*même* si j'ai administré
ὑπέρευ	plus-que-bien
πάντα τὰ κοινά,	toutes les choses communes,
ἀλλὰ ἀναστάντες	mais vous étant-levés
καταψηφίσασθε ἤδη·	votez-contre *moi* déjà;
εἰ δὲ ὑπειλήφατε καὶ γινώσκετε	mais si vous *me* croyez et connaisse
πολλῷ βελτίω τούτου,	beaucoup meilleur que celui-ci,
καὶ ἐκ βελτιόνων, καί,	et *né* de meilleurs, et,
ἵνα λέγω μηδὲν ἐπαχθές,	pour-que je *ne* dise rien d'odieux,
χείρονα μηδενὸς τῶν μετρίων	inférieur à aucun des médiocres
καὶ ἐμὲ καὶ τοὺς ἐμούς,	et moi et les miens,
μηδὲ μὲν πιστεύετε τούτῳ	ne croyez pas celui-ci non plus
ὑπὲρ τῶν ἄλλων·	sur les autres choses;
δῆλον γὰρ ὡς	car *il est* évident que
ἐπλάττετο	il *les* a imaginées
ὁμοίως ἅπαντα·	semblablement toutes;
παράσχεσθε δὲ ἐμοὶ	mais accordez à moi
καὶ νυνὶ εὔνοιαν	encore maintenant la bienveillance
ἣν ἐνδέδειχθε	que vous avez montrée
παρὰ πάντα τὸν χρόνον	pendant tout le temps
ἐπὶ ἀγώνων πολλῶν,	dans des débats nombreux,
τῶν γεγενημένων πρότερον.	ceux ayant-eu-lieu précédemment.
Ὢν δὲ κακοήθης, Αἰσχίνη,	Mais étant malicieux, Eschine,
ᾠήθης τοῦτο παντελῶς εὔηθες,	tu as cru ceci tout-à-fait simple,
μὲ ἀφέντα τοὺς λόγους	moi ayant-omis les discours
περὶ τῶν πεπραγμένων	sur les choses ayant-été-faites
καὶ πεπολιτευμένων	et ayant-été administrées,
τρέψεσθαι πρὸς τὰς λοιδορίας	devoir-me-tourner vers les injures
τὰς παρὰ σοῦ.	celles de-la-part de toi.
Οὐ δὴ ποιήσω τοῦτο,	Certes je ne ferai pas cela,
οὐ τετύφωμαι οὕτως·	je ne suis pas insensé ainsi;
ἀλλὰ ἐξετάσω αὐτίκα μὲν	mais j'examinerai sur-le-champ
ἃ κατεψεύδου,	*les choses* que tu as-dites-faussement
καὶ διέβαλλες	et *que* tu as-dites-calomnieusement
ὑπὲρ τῶν πεπολιτευμένων·	sur celles ayant-été-administrées;
ὕστερον δὲ μνησθήσομαι	et plus-tard je ferai-mention
ταύτης τῆς πομπείας[5]	de cette invective,
τῆς γεγενημένης ἀνέδην,	celle ayant-eu-lieu abondamment,
ἂν ᾖ τούτοις βουλομένοις ἀκούειν[6]	s'il est à ceux-ci voulant entendre.

Τὰ μὲν οὖν κατηγορημένα πολλὰ καὶ δεινά, καὶ περὶ ὧν ἐνίων μεγάλας καὶ τὰς ἐσχάτας οἱ νόμοι τάττουσι τιμωρίας· τοῦ δὲ παρόντος ἀγῶνος ἡ προαίρεσις αὕτη ἐχθροῦ μὲν ἐπήρειαν ἔχει, καὶ ὕβριν, καὶ λοιδορίαν, καὶ προπηλακισμὸν ὁμοῦ, καὶ πάντα τὰ τοιαῦτα· τῶν μέντοι κατηγοριῶν, καὶ τῶν αἰτιῶν τῶν εἰρημένων, εἴπερ ἦσαν ἀληθεῖς, οὐκ ἔνι τῇ πόλει δίκην ἀξίαν λαβεῖν, οὐδ' ἐγγύς. Οὐ γὰρ ἀφαιρεῖσθαι δεῖ τὸ προςελθεῖν τῷ δήμῳ καὶ λόγου τυχεῖν· οὐ δ' ἐν ἐπηρείας τάξει καὶ φθόνου τοῦτο ποιεῖν, οὔτε, μὰ τοὺς θεούς, ὀρθῶς ἔχον, οὔτε πολιτικόν, οὔτε δίκαιόν ἐστιν, ὦ ἄνδρες Ἀθηναῖοι· ἀλλ' ἐφ' οἷς ἀδικοῦντά με ἑώρα τὴν πόλιν, οὗσί γε τηλικούτοις ἡλίκα νῦν ἐτραγῴδει καὶ διεξῄει, ταῖς ἐκ τῶν νόμων τιμωρίαις παρ' αὐτὰ τἀδικήματα χρῆσθαι, εἰ μὲν εἰςαγγελίας ἄξια πράττοντά με ἑώρα, εἰςαγγέλλοντα, καὶ τοῦτον τὸν τρόπον εἰς κρίσιν καθιστάντα παρ'

Les chefs d'accusation sont nombreux et formidables; il en est même que la loi punit des derniers châtiments : mais l'accusateur n'a d'autre motif, dans le procès qu'il intente, que de nuire à un ennemi, de l'outrager, de le diffamer, de l'accabler enfin des dernières insultes. Si j'étais coupable de tout ce qu'il m'impute, la république ne saurait trouver une peine qui égalât le crime, ni même qui en approchât. Je sais que la tribune ne doit être interdite à aucun des citoyens qui veulent parler au peuple; mais aussi, j'en atteste les dieux, il est contraire aux lois de la raison, de la justice et d'une sage démocratie, de n'y paraître que pour contenter sa haine et sa malignité; mais quand Eschine me voyait causer à la république d'aussi grands dommages qu'il me le reprochait tantôt avec son accent théâtral, il devait user des châtiments ordonnés par les lois, dans le temps même où je commettais les délits; me dénoncer s'il me voyait digne d'être dénoncé, et me traduire ainsi à votre tribunal; me poursuivre comme

Τὰ μὲν οὖν κατηγορημένα	Donc, les choses ayant-été-dénoncées
πολλὰ καὶ δεινά,	*sont* nombreuses et terribles,
καὶ περὶ ἐνίων ὧν	et sur quelques-unes desquelles
οἱ νόμοι τάττουσι	les lois prescrivent
μεγάλας καὶ τὰς ἐσχάτας τιμωρίας·	de grands et les derniers châtiments
αὕτη δὲ ἡ προαίρεσις	mais cette disposition
τοῦ ἀγῶνος παρόντος	du débat présent
ἔχει ἐπήρειαν μὲν ἐχθροῦ,	a la malveillance d'un ennemi,
καὶ ὕβριν, καὶ λοιδορίαν,	et l'injure, et la diffamation,
καὶ προπηλακισμὸν ὁμοῦ,	et l'outrage en-même-temps,
καὶ πάντα τὰ τοιαῦτα·	et toutes les choses telles;
οὐκ ἔνι μέντοι	il n'est pas *possible* cependant
τῇ πόλει	à la ville
λαβεῖν, οὐδὲ ἐγγύς,	de prendre, pas-même à-peu-près,
δίκην ἀξίαν	une justice convenable
τῶν κατηγοριῶν	des accusations
καὶ τῶν αἰτιῶν τῶν εἰρημένων,	et des imputations ayant-été-dites,
εἴπερ ἦσαν ἀληθεῖς.	si-toutefois elles étaient vraies.
Οὐ γὰρ δεῖ ἀφαιρεῖσθαι	Certes il ne faut pas enlever
τὸ προςελθεῖν τῷ δήμῳ	le venir-devant le peuple
καὶ τυχεῖν λόγου·	et obtenir la parole;
ποιεῖν δὲ τοῦτο	mais faire cela
ἐν τάξει ἐπηρείας καὶ φθόνου	dans un plan de malignité et de haine
οὐκ ἔστι, μὰ τοὺς θεούς,	n'est, par les dieux,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
οὔτε ἔχον ὀρθῶς,	ni étant avec-droiture,
οὔτε πολιτικόν, οὔτε δίκαιον·	ni digne-d'un-citoyen, ni juste;
ἀλλὰ χρῆσθαι	mais se servir
ταῖς τιμωρίαις ἐκ τῶν νόμων	des châtiments d'après les lois
παρὰ τὰ ἀδικήματα αὐτά,	en-présence des injustices mêmes,
ἐπὶ οἷς ἑώρα με	dans lesquelles il voyait moi
ἀδικοῦντα τὴν πόλιν,	faisant-tort à la ville,
οὗσί γε τηλικούτοις	étant du-moins aussi-grandes
ἡλίκα νῦν ἐτραγῴδει ?	que tantôt il déclamait-tragiquement
καὶ διεξῄει,	et parcourait,
εἰςαγγέλλοντα μέν,	*me* dénonçant,
εἰ ἑώρα με πράττοντα	s'il voyait moi faisant
ἄξια εἰςαγγελίας,	des choses dignes de dénonciation,
καὶ καθιστάντα τοῦτον τὸν τρόπον	et *me* traduisant *de* cette manière
εἰς κρίσιν παρὰ ὑμῖν,	en jugement devant vous,

ὑμῖν, εἰ δὲ γράφοντα παράνομα, παρανόμων γραφόμενον. Οὐ γὰρ δήπου Κτησιφῶντα μὲν δύναται διώκειν δι' ἐμέ, ἐμὲ δ' εἴπερ ἐξελέγχειν ἐνόμιζεν, αὐτὸν οὐκ ἂν ἐγράψατο. Καὶ μήν εἴ τι τῶν ἄλλων, ὧν νυνὶ διέβαλλε καὶ διεξῄει; ἢ καὶ ἄλλ' ὁτιοῦν ἀδικοῦντά με ὑμᾶς ἑώρα, εἰσὶ νόμοι περὶ πάντων, καὶ τιμωρίαι, καὶ ἀγῶνες, καὶ κρίσεις, πικρὰ καὶ μεγάλα ἔχουσαι τἀπιτίμια· καὶ τούτοις ἐξῆν αὐτῷ ἅπασι χρῆσθαι κατ' ἐμοῦ, καὶ ὁπηνίκα ἐφαίνετο ταῦτα πεποιηκώς, καὶ τοῦτον τὸν τρόπον κεχρημένος τοῖς πρὸς ἐμέ, ὡμολογεῖτο ἂν ἡ κατηγορία τοῖς ἔργοις αὐτοῦ. Νῦν δ' ἐκστὰς τῆς ὀρθῆς καὶ δικαίας ὁδοῦ, καὶ φυγὼν τοὺς παρ' αὐτὰ τὰ πράγματα ἐλέγχους, τοσούτοις ὕστερον χρόνοις, αἰτίας καὶ σκώμματα καὶ λοιδορίας συμφορήσας, ὑποκρίνεται· εἶτα κατηγορεῖ μὲν ἐμοῦ, κρίνει δὲ τουτονί· καὶ τοῦ μὲν ἀγῶνος ὅλου τὴν πρὸς ἐμὲ ἔχθραν προΐσταται, οὐδαμοῦ δ'

infracteur des lois, s'il me voyait proposer des décrets contraires aux lois; car il ne peut pas faire condamner Ctésiphon par ses sorties contre moi, et il ne l'eût certainement pas accusé, s'il eût cru pouvoir me convaincre moi-même. Si donc il me voyait commettre quelqu'un des crimes qu'il me reprochait tout à l'heure, ou quelque autre, il est des lois pour tous les délits, il est des châtiments, des procès, des sentences qui prononcent des peines amères et terribles. Il pouvait m'attaquer par tous ces moyens, et s'il eût suivi cette marche à mon égard, sa conduite passée fût venue à l'appui de l'accusation qu'il m'intente. Mais comment procède-t-il? Il fuit la voie la plus simple et la plus droite, et, craignant d'apporter ses preuves en face des faits mêmes encore récents, il vient longtemps après accumuler à plaisir les inculpations diffamantes, les sarcasmes, les invectives, jouer une comédie. Enfin, c'est à moi qu'il en veut, et c'est Ctésiphon qu'il accuse. Toute son accusation respire la haine qu'il me porte; et

γραφόμενον δὲ παρανόμων,	et *m'*accusant de choses illégales,
εἰ γράφοντα παράνομα.	si écrivant des choses illégales.
Οὐ μὲν γὰρ δήπου δύναται	Car sans-doute il ne peut pas
διώκειν Κτησιφῶντα	poursuivre Ctésiphon
διὰ ἐμέ,	au-moyen-de moi,
εἴπερ δὲ ἐνόμιζεν	et si-toutefois il croyait
ἐξελέγχειν ἐμέ,	convaincre moi,
οὐκ ἂν ἐγράψατο αὐτόν.	il n'aurait pas accusé lui
Καὶ μήν,	Et certes,
εἰ ἑώρα με ἀδικοῦντα ὑμᾶς	s'il voyait moi faisant-tort à vous
τὶ τῶν ἄλλων	*en* quelqu'une des autres choses
ὧν νυνὶ διέβαλλε	que tantôt il disait-calomnieusement
καὶ διεξῄει,	et parcourait,
ἢ καὶ ἄλλο ὁτιοῦν,	ou aussi *en* une autre quelconque,
νόμοι εἰσὶ περὶ πάντων,	des lois sont sur toutes,
καὶ τιμωρίαι, καὶ ἀγῶνες,	et des châtiments, et des débats,
καὶ κρίσεις ἔχουσαι τὰ ἐπιτίμια	et des jugements ayant les peines
πικρὰ καὶ μεγάλα·	amères et grandes;
καὶ ἐξῆν αὐτῷ	et il était-permis à lui
χρῆσθαι κατὰ ἐμοῦ	d'user contre moi
ἅπασι τούτοις,	de toutes ces *ressources*
καὶ ὁπηνίκα ἐφαίνετο	et quand il aurait-été-vu
πεποιηκὼς ταῦτα,	ayant-fait ces choses,
καὶ κεχρημένος τοῦτον τὸν τρόπον	et ayant-usé *de* cette manière
τοῖς πρὸς ἐμέ,	des *moyens* contre moi,
ἡ κατηγορία ἂν ὡμολογεῖτο	l'accusation aurait-été-d'accord
τοῖς ἔργοις αὐτοῦ.	*avec* les actions de lui.
Νῦν δὲ ἐκστὰς	Mais maintenant s'étant-tenu-hors
τῆς ὁδοῦ ὀρθῆς καὶ δικαίας,	de la route droite et juste,
καὶ φυγὼν τοὺς ἐλέγχους	et ayant-évité les preuves
παρὰ τὰ πράγματα αὐτά,	en-présence des faits eux-mêmes,
τοσούτοις χρόνοις ὕστερον,	un si-long temps plus-tard,
συμφορήσας αἰτίας	ayant-accumulé des inculpations,
καὶ σκώμματα καὶ λοιδορίας	et des railleries, et des invectives,
ὑποκρίνεται·	il joue-la-comédie;
εἶτα κατηγορεῖ μὲν ἐμοῦ,	ensuite il parle-contre moi,
κρίνει δὲ τουτονί·	mais met-en-jugement celui-ci;
καὶ προΐσταται μὲν	et il fait-présider
τοῦ ἀγῶνος ὅλου	au débat tout-entier
τὴν ἔχθραν πρὸς ἐμὲ,	la haine contre moi,

ἐπὶ ταύτην ἀπηντηκὼς ἐμοί, τὴν ἑτέρου ζητῶν ἐπιτιμίαν ἀφελέσθαι φαίνεται. Καίτοι πρὸς ἅπασιν, ὦ ἄνδρες Ἀθηναῖοι, τοῖς ἄλλοις δικαίοις, εἴς ἂν εἰπεῖν τις ὑπὲρ Κτησιφῶντος ἔχοι, καὶ τοῦτ' ἔμοιγε δοκεῖ καὶ μάλ' εἰκότως ἂν λέγειν, ὅτι τῆς ἡμετέρας ἔχθρας ἡμᾶς ἐφ' ἡμῶν αὐτῶν δίκαιον ἦν τὸν ἐξετασμὸν ποιεῖσθαι, οὐ τὸ μὲν πρὸς ἀλλήλους ἀγωνίζεσθαι παραλείπειν, ἑτέρῳ δ' ὅτῳ κακόν τι δώσομεν ζητεῖν· ὑπερβολὴ γὰρ ἀδικίας τοῦτό γε.

Πάντα μὲν τοίνυν τὰ κατηγορημένα ὁμοίως ἐκ τούτων ἄν τις ἴδοι, οὔτε δικαίως, οὔτ' ἐπ' ἀληθείας οὐδεμιᾶς εἰρημένα. Βούλομαι δὲ καὶ καθ' ἓν ἕκαστον αὐτῶν ἐξετάσαι, καὶ μάλισθ' ὅσα ὑπὲρ τῆς εἰρήνης καὶ τῆς πρεσβείας κατεψεύσατό μου, τὰ πεπραγμένα ἑαυτῷ μετὰ Φιλοκράτους ἀνατιθεὶς ἐμοί. Ἔστι δ' ἀναγκαῖον, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ προσῆκον ἴσως, ὡς κατ'

malgré cette haine, il ne m'a jamais attaqué en face; mais il cherche à enlever à un autre la jouissance de ses droits civils. Or, Athéniens, une des meilleures raisons que l'on pourrait donner en faveur de Ctésiphon est celle-ci, qu'Eschine et moi nous devions vider ensemble les débats d'une animosité mutuelle, sans nous jeter sur un tiers, et lui porter des coups qui ne devaient tomber que sur nous seuls; car c'est le comble de l'injustice.

Il n'en faudrait point davantage pour se convaincre que toute l'accusation d'Eschine est aussi contraire à la justice qu'à la vérité : je vais examiner néanmoins chaque article séparément, et surtout les mensonges qu'il a débités au sujet de l'ambassade en Macédoine, et de la paix avec Philippe, m'attribuant tout le mal qu'il a fait lui-même conjointement avec Philocrate. Il est également convenable et néces-

ἀπηντηκὼς δὲ ἐμοὶ
οὐδαμοῦ ἐπὶ ταύτην,
φαίνεται ζητῶν ἀφελέσθαι
τὴν ἐπιτιμίαν[9] ἑτέρου.
Καίτοι, ὦ ἄνδρες Ἀθηναῖοι,
πρὸς ἅπασι τοῖς ἄλλοις δικαίοις
οἷς τις ἂν ἔχοι εἰπεῖν
ὑπὲρ Κτησιφῶντος,
δοκεῖ ἔμοιγε
ἂν λέγειν καὶ τοῦτο
καὶ μάλα εἰκότως,
ὅτι ἦν δίκαιον
ἡμᾶς ποιεῖσθαι τὸν ἐξετασμὸν
τῆς ἔχθρας ἡμετέρας
ἐπὶ ἡμῶν αὐτῶν,
οὐ παραλείπειν μὲν
τὸ ἀγωνίζεσθαι πρὸς ἀλλήλους,
ζητεῖν δὲ ὅτῳ ἑτέρῳ
δώσομέν τι κακόν·
τοῦτό γε γὰρ
ὑπερβολὴ ἀδικίας.
Ἐκ τούτων μὲν τοίνυν
τὶς ἂν ἴδοι
πάντα τὰ κατηγορημένα
εἰρημένα ὁμοίως,
οὔτε δικαίως,
οὔτε ἐπὶ οὐδεμιᾶς ἀληθείας.
Βούλομαι δὲ καὶ
ἐξετάσαι κατὰ ἓν
ἕκαστον αὐτῶν,
καὶ μάλιστα ὅσα
κατεψεύσατό μου
ὑπὲρ τῆς εἰρήνης
καὶ τῆς πρεσβείας,
ἀνατιθεὶς ἐμοὶ
τὰ πεπραγμένα
ἑαυτῷ μετὰ Φιλοκράτους[10]
Ἔστι δὲ ἀναγκαῖον,
ὦ ἄνδρες Ἀθηναῖοι,
καὶ προσῆκον ἴσως

mais ayant-rencontré moi
nulle-part pour celle-ci,
il est vu cherchant à enlever
les droits-civils à un autre.
Or, ô hommes Athéniens,
outre toutes les autres choses justes
que quelqu'un aurait à dire
pour Ctésiphon,
il paraît à moi du-moins
pouvoir-dire aussi cela
et fort raisonnablement,
qu'il était juste
nous faire la discussion
de l'inimitié nôtre
sur nous-mêmes,
ne pas omettre d'une part
le combattre contre l'un-l'autre,
d'autre part chercher à quel autre
nous donnerons quelque mal;
car cela certes
est le comble de l'injustice.
D'après ces choses donc
quelqu'un pourrait-voir
toutes celles ayant-été-dénoncées
ayant-été-dites semblablement,
ni justement,
ni dans aucune vérité.
Mais je veux encore
examiner *une* par une
chacune d'elles,
et surtout toutes-celles-que
il a-dites-faussement-contre moi
touchant la paix
et l'ambassade,
attribuant à moi
les choses ayant-été faites
par lui-même avec Philocrate.
Mais il est nécessaire,
ô hommes Athéniens,
et convenant également

ἐκείνους τοὺς χρόνους εἶχε τὰ πράγματα, ἀναμνῆσαι ὑμᾶς, ἵνα πρὸς τὸν ὑπάρχοντα καιρὸν ἕκαστα θεωρῆτε.

Τοῦ γὰρ Φωκικοῦ συστάντος πολέμου, οὐ δ ἐμέ (οὐ γὰρ δ ἔγωγε ἐπολιτευόμην πω τότε), πρῶτον μὲν ὑμεῖς οὕτω διέκειστθε ὥςτε Φωκέας μὲν βούλεσθαι σωθῆναι, καίπερ οὐ δίκαια ποιοῦν τας ὁρῶντες, Θηβαίοις δ' ὁτιοῦν ἂν ἐφησθῆναι παθοῦσιν, οὐ ἀλόγως οὐδ' ἀδίκως αὐτοῖς ὀργιζόμενοι· οἷς γὰρ εὐτυχήκεσαν ἐν Λεύκτροις, οὐ μετρίως ἐκέχρηντο. Ἔπειθ' ἡ Πελοπόννησος ἅπασα διειστήκει· καὶ οὔθ' οἱ μισοῦντες Λακεδαιμονίους οὔτε ἴσχυον ὥςτε ἀνελεῖν αὐτούς, οὔθ' οἱ πρότερον δι' ἐκείνων ἄρχοντες κύριοι τῶν πόλεων ἦσαν· ἀλλά τις ἦν ἄκριτος καὶ παρὰ τούτοις καὶ παρὰ τοῖς ἄλλοις ἅπασιν Ἕλλησιν ἔρις καὶ ταραχή. Ταῦτα δ' ὁρῶν ὁ Φίλιππος (οὐ γὰρ ἦν ἀφανῆ), τοῖς παρ' ἑκάστοις προδόταις χρήματα ἀναλίσκων, πάντας συνέκρουε καὶ

saire, Athéniens, de vous rappeler l'état de la Grèce dans ces temps-là, pour que vous puissiez considérer chaque événement dans son vrai point de vue.

A l'époque où s'alluma la guerre de Phocide (et certes on ne m l'imputera pas, car je n'étais pas encore aux affaires), tels étaient vos sentiments, que vous faisiez des vœux pour le salut des Phocéens, tout en condamnant leurs torts, et que vous étiez prêts à vous réjouis de tout mauvais succès des Thébains. Vous étiez irrités contre eux, et vous aviez sujet et raison de l'être; car après Leuctres leur orgueil n'avait plus connu de bornes. Tout le Péloponèse, d'ailleurs, était divisé : ceux qui haïssaient Lacédémone, n'étaient pas assez forts pour détruire sa puissance; ceux que Lacédémone avait mis à la tête des villes, n'en étaient plus les maîtres; ce n'était, chez ces peuples et chez tous les autres, que dissensions et que troubles interminables Philippe, qui voyait ces désordres, et ils étaient assez visibles, distribuait de l'argent aux traîtres de tous les pays, animait les peuples

ἀναμνῆσαι ὑμᾶς	de rappeler à vous
ὡς τὰ πράγματα εἶχε	comment les affaires se-trouvaient
κατὰ ἐκείνους τοὺς χρόνους,	pendant ces temps-là,
ἵνα θεωρῆτε ἕκαστα	afin que vous considériez chaque chos
πρὸς τὸν καιρὸν ὑπάρχοντα.	selon la circonstance existant
Τοῦ γὰρ πολέμου Φωκικοῦ [11]	Car la guerre Phocique
συστάντος, οὐ διὰ ἐμέ	s'étant-formée, non par moi
(ἔγωγε γὰρ δὴ	(car certes moi-du-moins
οὐκ ἐπολιτευόμην πω τότε),	je n'administrais pas encore alors),
πρῶτον μὲν ὑμεῖς διέκειστθε οὕτως	d'abord vous étiez-disposés ainsi
ὥςτε βούλεσθαι μὲν	de-manière à vouloir
Φωκέας σωθῆναι,	les Phocéens être sauvés,
καίπερ ὁρῶντες	quoique voyant *eux*
ποιοῦντας οὐ δίκαια,	faisant des choses non justes,
ἐφησθῆναι δὲ ἂν	mais à vous réjouir
Θηβαίοις παθοῦσιν	des Thébains ayant-souffert
ὁτιοῦν,	quoi-que-ce-fût,
ὀργιζόμενοι αὐτοῖς	étant-irrités contre eux
οὐκ ἀλόγως οὐδὲ ἀδίκως·	non sans-raison ni sans-justice :
οὐ γὰρ ἐκέχρηντο μετρίως	car ils n'avaient pas usé modérément
οἷς	*des choses* que
εὐτυχήκεσαν ἐν Λεύκτροις.	ils avaient-bien-obtenues à Leuctres.
Ἔπειτα ἅπασα ἡ Πελοπόννησος	Ensuite tout le Péloponnèse
διειστήκει· καὶ οὔτε οἱ μισοῦντες	était-divisé; et ni ceux haïssant
Λακεδαιμονίους [12]	les Lacédémoniens
ἴσχυον οὕτως	*n'*étaient-forts tellement
ὥςτε ἀνελεῖν αὐτούς,	au-point-de détruire eux,
οὔτε οἱ ἄρχοντες πρότερον	ni ceux commandant précédemment
διὰ ἐκείνων [13]	par ceux-ci
ἦσαν κύριοι τῶν πόλεων·	*n'*étaient maîtres des villes;
ἀλλά τις ἔρις	mais une certaine discorde
ἄκριτος	interminable
καὶ ταραχὴ ἦν καὶ παρὰ τούτοις	et un désordre était et chez eux
καὶ παρὰ ἅπασι	et chez tous
τοῖς ἄλλοις Ἕλλησιν.	les autres Grecs.
Ὁ δὲ Φίλιππος ὁρῶν ταῦτα	Mais Philippe voyant ces choses
(οὐ γὰρ ἦν ἀφανῆ),	(car elles n'étaient pas invisibles)
ἀναλίσκων χρήματα	dépensant des sommes-d'argent
τοῖς προδόταις	*pour* les traîtres
παρὰ ἑκάστοις,	chez chaque *peuple*,

πρὸς ἑαυτοὺς ἐτάραττεν· εἶτ' ἐν οἷς ἡμάρτανον οἱ ἄλλοι, καὶ κακῶς ἐφρόνουν, αὐτὸς παρεσκευάζετο, καὶ κατὰ πάντων ἐφύετο. Ὡς δὲ ταλαιπωρούμενοι τῷ μήκει τοῦ πολέμου, οἱ τότε μὲν βαρεῖς, νῦν δ' ἀτυχεῖς Θηβαῖοι, φανεροὶ πᾶσιν ἦσαν ἀναγκασθησόμενοι καταφεύγειν ἐφ' ὑμᾶς, ὁ Φίλιππος, ἵνα μὴ τοῦτο γένοιτο, μηδὲ συνέλθοιεν αἱ πόλεις, ὑμῖν μὲν εἰρήνην, ἐκείνοις δὲ βοήθειαν ἐπηγγείλατο. Τί οὖν συνηγωνίσατο αὐτῷ πρὸς τὸ λαβεῖν, ὀλίγου δεῖν, ἑκόντας ὑμᾶς ἐξαπατωμένους; ἢ τῶν ἄλλων Ἑλλήνων, εἴτε χρὴ κακίαν, εἴτ' ἄγνοιαν, εἴτε καὶ ἀμφότερα ταῦτ' εἰπεῖν· οἵ, πόλεμον συνεχῆ καὶ μακρὸν πολεμούντων ὑμῶν, καὶ τοῦτον ὑπὲρ τῶν κοινῇ πᾶσι συμφερόντων, ὡς ἔργῳ φανερὸν γέγονεν, οὔτε χρήμασιν, οὔτε σώμασιν, οὔτ' ἄλλῳ οὐδενὶ τῶν πάντων συνελάμβανον ὑμῖν· οἷς καὶ δικαίως καὶ προσηκόντως ὀργιζόμενοι, ἑτοίμως ὑπηκούσατε τῷ Φιλίππῳ. Ἡ μὲν

les uns contre les autres, les mettait aux prises ensemble, profitait des fautes et des imprudences d'autrui, faisait ses préparatifs, et grandissait contre tous. Mais comme, selon toute apparence, ces Thébains, si fiers alors, aujourd'hui si malheureux, épuisés par la longueur de la guerre, allaient être forcés de recourir à vous, Philippe, pour empêcher cet événement qui devait réunir les deux républiques, vous offrit à vous la paix, et aux Thébains du secours. Qui donc conspira avec lui pour vous faire tomber, ou peu s'en fallut, dans des piéges où vous donniez volontairement? C'est, dirai-je la lâcheté ou l'imprudence des autres Grecs? Dirai-je l'une et l'autre à la fois? Dans le temps que vous entreteniez une guerre longue et sans relâche, et cela pour les intérêts communs, on le vit bien ensuite, ils ne voulurent vous aider ni d'hommes ni d'argent, ni vous secourir en rien. Irrités, comme il convenait, d'une telle indifférence, vous prêtâtes volontiers l'oreille aux propositions de Philippe. Ce

συνέκρουε καὶ ἐτάραττε	heurtait et remuait
τάντας πρὸς ἑαυτούς·	tous contre eux-mêmes;
ἶτα	ensuite
ν οἷς	*dans les occasions* dans lesquelles
ἱ ἄλλοι ἡμάρτανον	les autres pêchaient
καὶ ἐφρόνουν κακῶς,	et pensaient mal,
α τὸς παρεσκευάζετο	lui-même se préparait
καὶ ἐφύετο κατὰ πάντων.	et croissait contre tous.
Ὡς δὲ οἱ Θηβαῖοι,	Mais comme les Thébains,
τότε μὲν βαρεῖς,	alors il-est-vrai insupportables,
νῦν δὲ ἀτυχεῖς,	mais maintenant infortunés,
ταλαιπωρούμενοι	étant-rendus-misérables
τῷ μήκει τοῦ πολέμου,	*par* la longueur de la guerre,
ἦσαν φανεροὶ πᾶσιν	étaient évidents *pour* tous
ἀναγκασθησόμενοι	devant-être-forcés
καταφεύγειν ἐπὶ ὑμᾶς,	de se réfugier vers vous,
ὁ Φίλιππος, ἵνα τοῦτο μὴ γένοιτο,	Philippe, afin que cela n'arrivât pas,
μηδὲ αἱ πόλεις συνέλθοιεν,	ni *que* les villes se réunissent,
ἐπηγγείλατο εἰρήνην μὲν ὑμῖν,	promit la paix à vous,
βοήθειαν δὲ ἐκείνοις.	et du secours à ceux-là.
Τί οὖν συνηγωνίσατο αὐτῷ	Quoi donc combattit-avec lui
πρὸς τὸ λαβεῖν, δεῖν ὀλίγου,	pour le prendre, falloir de peu,
ὑμᾶς ἐξαπατωμένους ἑκόντας;	vous étant-trompés *le* voulant-bien?
ἢ, εἴτε χρὴ εἰπεῖν κακίαν,	la, soit-que il faut dire lâcheté,
εἴτε ἄγνοιαν, τῶν ἄλλων Ἑλλήνων,	soit imprévoyance, des autres Grecs,
εἴτε καὶ ταῦτα ἀμφότερα·	soit encore ces deux choses;
οἵ, ὑμῶν πολεμούντων πόλεμον	*eux* qui, vous faisant une guerre
συνεχῆ καὶ μακρόν,	continue et longue,
καὶ τοῦτον ὑπὲρ τῶν συμφερόντων	et celle-ci pour les choses important
πᾶσι κοινῇ,	à tous en-commun,
ὡς γέγονε φανερὸν	comme il est devenu évident
ἔργῳ, συνελάμβανον ὑμῖν	*par* le fait, ont assisté vous
οὔτε χρήμασιν,	ni *par* des sommes-d'argent,
οὔτε σώμασιν,	ni *par* des hommes,
οὔτε οὐδενὶ ἄλλῳ	ni *par* aucune autre
τῶν πάντων·	de toutes les choses;
οἷς ὀργιζόμενοι	*contre* lesquels étant-irrités
καὶ δικαίως καὶ προσηκόντως,	et justement et convenablement,
ὑπηκούσατε ἑτοίμως	vous avez-prêté-l'oreille promptement
τῷ Φιλίππῳ.	à Philippe.

οὖν τότε συγχωρηθεῖσα εἰρήνη διὰ ταῦτα, οὐ δι' ἐμέ, ὡς οὗτος διέβαλλεν, ἐπράχθη. Τὰ δὲ τούτων ἀδικήματα καὶ δωροδοκήματα ἐν αὐτῇ τῶν νυνὶ παρόντων πραγμάτων, ἄν τις ἐξετάζῃ δικαίως, αἴτια εὑρήσει. Καὶ ταυτὶ πάνθ' ὑπὲρ τῆς ἀληθείας ἀκριβολογοῦμαι καὶ διεξέρχομαι. Εἰ γὰρ εἶναί τι δοκοίη τὰ μάλιστα ἐν τούτοις ἀδίκημα, οὐδέν ἐστι δήπου πρὸς ἐμέ· ἀλλ' ὁ μὲν πρῶτος εἰπὼν καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης, Ἀριστόδημος ἦν ὁ ὑποκριτής· ὁ δ' ἐκδεξάμενος, καὶ γράψας, καὶ ἑαυτὸν μετὰ τούτου μισθώσας ἐπὶ ταῦτα, Φιλοκράτης ὁ Ἀγνούσιος, ὁ σός, Αἰσχίνη, κοινωνός, οὐκ ἐμός, οὐδ' ἂν σὺ διαῤῥαγῇς ψευδόμενος· οἱ δὲ συνειπόντες, ὁτουδήποτε ἕνεκα (ἐῶ γὰρ τοῦτό γε ἐν τῷ παρόντι), Εὔβουλος καὶ Κηφισοφῶν· ἐγὼ δ' οὐδὲν οὐδαμοῦ.

Ἀλλ' ὅμως, τούτων τοιούτων ὄντων, καὶ ἐπ' αὐτῆς τῆς ἀληθείας οὕτω δεικνυμένων, εἰς τοῦθ' ἧκεν ἀναιδείας ὥςτ' ἐτόλμα

sont donc les conjonctures, et non mes intrigues, comme le disait faussement Eschine, qui vous ont déterminés à la paix. Mais on verra, si l'on veut tout examiner, que la corruption des citoyens perfides qui ont négocié cette paix est la cause de tous nos malheurs. C'est uniquement l'intérêt de la vérité qui me fait traiter et discuter ce point avec exactitude, puisque les délits qu'on a pu commettre alors ne me regardent en aucune façon. Celui qui fit mention de paix, qui en parla le premier, c'était le comédien Aristodème. Celui qui appuya son sentiment, qui le proposa par écrit, et qui partageait avec lui les présents de Philippe, c'était Philocrate d'Agnusie, votre complice, Eschine, et non le mien; non, dussiez-vous vous rompre à force de mentir. Ceux qui se déclarèrent pour le décret, je n'examine pas ici leur motif, furent Eubule et Céphisophon; quant à moi, je n'y suis pour rien.

Quoique tous ces faits soient d'une vérité incontestable, il a poussé

Ἡ μὲν οὖν εἰρήνη	Donc la paix
συγχωρηθεῖσα τότε	ayant-été-consentie alors
ἐπράχθη διὰ ταῦτα,	fut faite à-cause-de ces choses,
οὐ διὰ ἐμέ, ὡς οὗτος	non-à-cause-de moi, comme celui-ci
διέβαλλεν	disait-calomnieusement
Ἄν δέ τις	Mais si quelqu'un
ἐξετάζῃ δικαίως,	examine justement,
εὑρήσει τὰ ἀδικήματα	il trouvera les injustices
καὶ δωροδοκήματα	et réceptions-de-présents
τούτων ἐν αὐτῇ	de ceux-ci dans cette *paix*
αἴτια τῶν πραγμάτων	causes des affaires
παρόντων νυνί.	étant-présentes maintenant.
Καὶ ἀκριβολογοῦμαι	Et je discute-avec-exactitude
καὶ διεξέρχομαι πάντα ταυτὶ	et parcours toutes ces choses
ὑπὲρ τῆς ἀληθείας.	pour la vérité.
Εἰ γάρ τι ἀδίκημα δοκοίη	Car si quelque illégalité paraissait
εἶναι ἐν τούτοις τὰ μάλιστα,	être dans ces choses surtout,
οὐδέν ἐστι δήπου πρὸς ἐμέ·	rien n'est certes vers moi;
ἀλλὰ ὁ μὲν εἰπὼν πρῶτος	mais celui ayant-parlé le premier
καὶ μνησθεὶς ὑπὲρ τῆς εἰρήνης	et ayant-fait-mention touchant la paix
ἦν Ἀριστόδημος ὁ ὑποκριτής [15]·	était Aristodème le comédien;
ὁ δὲ ἐκδεξάμενος, καὶ γράψας,	et celui ayant accueilli, et ayant-écrit,
καὶ μισθώσας ἑαυτὸν	et ayant-mis-à-gages lui-même
μετὰ τούτου ἐπὶ ταῦτα,	avec celui-ci pour ces choses,
Φιλοκράτης ὁ Ἀγνούσιος,	Philocrate celui d'Agnusie,
ὁ σὸς κοινωνός, Αἰσχίνη,	le tien complice, Eschine,
οὐκ ἐμός,	non le mien,
οὐδὲ ἂν σὺ διαῤῥαγῇς ψευδόμενος·	pas-même si tu crevais mentant,
οἱ δὲ συνειπόντες,	et ceux ayant-parlé-avec,
ἕνεκα ὁτουδήποτε	pour quoi-que-ce-fût
(ἐῶ γὰρ τοῦτό γε	(car je laisse ceci du-moins
ἐν τῷ παρόντι),	dans le présent),
Εὔβουλος καὶ Κηφισοφῶν [16]·	Eubule et Céphisophon;
ἐγὼ δὲ οὐδὲν οὐδαμοῦ.	mais moi rien nullement.
Ἀλλὰ ὅμως,	Mais cependant,
τούτων ὄντων τοιούτων,	ces choses étant telles,
καὶ δεικνυμένων οὕτως	et étant-montrées ainsi
ἐπὶ τῆς ἀληθείας αὐτῆς,	dans la vérité elle-même,
ἧκεν εἰς τοῦτο ἀναιδείας	il est-venu à cela d'impudence
ὥςτε ἐτόλμα λέγειν	au-point-que il osait dire

λέγειν ὡς ἄρα ἐγώ, πρὸς τῷ τῆς εἰρήνης αἴτιος γεγενῆσθαι, ἔτι καὶ κεκωλυκὼς εἴην τὴν πόλιν μετὰ κοινοῦ συνεδρίου τῶν Ἑλλήνων αὐτὴν ποιήσασθαι. Εἶτ', ὦ..... τί ἂν εἰπών σέ τις ὀρθῶς προσείποι; ἔστιν ὅπου σὺ παρών, τηλικαύτην πρᾶξιν καὶ συμμαχίαν, ἡλίκην νῦν διετραγῴδεις καὶ διεξῄεις, ὁρῶν ἀφαιρούμενόν με τῆς πόλεως, ἠγανάκτησας; ἢ παρελθὼν ταῦτα, ἃ νῦν κατηγορεῖς, ἐδίδαξας καὶ διεξῆλθες; Καὶ μήν, εἰ τὸ κωλῦσαι τὴν τῶν Ἑλλήνων κοινωνίαν ἐπεπράκειν ἐγὼ Φιλίππῳ, σοὶ τὸ μὴ σιγῆσαι λοιπὸν ἦν, ἀλλὰ βοᾷν καὶ διαμαρτύρεσθαι, καὶ δηλοῦν τουτοισί. Οὐ τοίνυν ἐποίησας οὐδαμοῦ τοῦτο, οὐδ' ἤκουσέ σου ταύτην τὴν φωνὴν οὐδείς· εἰκότως· οὔτε γὰρ ἦν πρεσβεία πρὸς οὐδένας ἀπεσταλμένη τότε τῶν Ἑλλήνων, ἀλλὰ πάλαι πάντες ἦσαν ἐξεληλεγμένοι, οὔθ' οὗτος ὑγιὲς περὶ τούτων εἴρηκεν οὐδέν.

l'impudence jusqu'à oser dire que j'ai conseillé la paix, et que même j'ai empêché la république de la concerter avec les Grecs dans une assemblée générale. Cependant, ô le plus... mais quel nom vous donner? vous a-t-on vu, vous qui étiez présent, sous les yeux duquel je privais la république d'une confédération aussi importante que vous l'annonciez tantôt avec votre ton de déclamateur, vous a-t-on vu vous indigner, monter à la tribune, dénoncer et exposer aux Athéniens les trahisons dont vous m'accusez aujourd'hui? Si pourtant je m'étais vendu à Philippe pour exclure les Grecs de la participation à la paix, vous deviez, Eschine, non garder le silence, mais crier, protester et démasquer le traître. Vous n'en avez rien fait, vous n'avez pas dit un mot. Et qu'aurait-il dit, Athéniens? On n'avait alors député à aucun des Grecs; ils s'étaient déclarés tous depuis longtemps, et l'accusateur n'a rien avancé que de faux à ce sujet.

ἄρα ὡς ἐγώ, πρὸς τῷ γεγενῆσθα	savoir que moi, outre le avoir été
αἴτιος τῆς εἰρήνης,	cause de la paix,
ἔτι καὶ εἴην	de-plus aussi j'étais
κεκωλυκὼς τὴν πόλιν	ayant-empêché la ville
ποιήσασθαι αὐτὴν	d'avoir-fait elle
μετὰ συνεδρίου κοινοῦ	avec l'assemblée commune
τῶν Ἑλλήνων.	des Grecs.
Εἶτα, ὦ..	Eh-bien! ô...
τί εἰπών τις	quoi ayant-dit quelqu'un
ἂν προσείποι σε ὀρθῶς;	aurait-il nommé toi convenablement?
ἔστιν ὅπου	est-il *une circonstance* où
σὺ παρών,	toi étant-présent,
ὁρῶν με ἀφαιρούμενον	voyant moi enlevant
τῆς πόλεως	à la ville
πρᾶξιν καὶ συμμαχίαν	une affaire et une alliance
τηλικαύτην	aussi-grande
ἡλίκην νῦν διετραγῴδεις	que tantôt tu déclamais-tragiquement
καὶ διεξῄεις,	et tu exposais,
ἠγανάκτησας;	tu t'es indigné?
ἢ παρελθών,	ou t'étant avancé,
ἐδίδαξας καὶ διεξῆλθες ταῦτα	tu as appris et as exposé ces choses,
ἃ νῦν κατηγορεῖς;	que maintenant tu dénonces?
Καὶ μήν,	Et cependant,
εἰ ἐγὼ ἐπεπράκειν Φιλίππῳ	si moi j'avais vendu à Philippe
τὸ κωλῦσαι	le avoir-empêché
τὴν κοινωνίαν τῶν Ἑλλήνων,	la participation des Grecs,
τὸ μὴ σιγῆσαι	le ne-pas garder-le-silence
ἦν λοιπόν σοι,	était restant à toi,
ἀλλὰ βοᾷν καὶ διαμαρτύρεσθαι,	mais crier et protester-contre,
καὶ δηλοῦν τουτοισί.	et montrer à ceux-ci.
Οὐ τοίνυν ἐποίησας οὐδαμοῦ τοῦτο,	Ainsi tu n'as fait nullement cela,
οὐδὲ οὐδεὶς ἤκουσέ σου	ni personne n'a entendu de toi
ταύτην τὴν φωνήν· εἰκότως·	cette voix; avec-raison :
οὔτε γὰρ πρεσβεία	car ni une ambassade
ἦν ἀπεσταλμένη τότε	était ayant-été-envoyée alors
πρὸς οὐδένας τῶν Ἑλλήνων,	vers aucuns des Grecs,
ἀλλὰ πάντες ἦσαν	mais tous étaient
ἐξεληλεγμένοι πάλαι,	s'étant-déclarés depuis-longtemps,
οὔτε οὗτος εἴρηκεν οὐδὲν	ni celui-ci n'a dit rien
ὑγιὲς περὶ τούτων.	de sain sur ces choses.

Χωρὶς δὲ τούτων, καὶ διαβάλλει τὴν πόλιν τὰ μέγιστα ἐν οἷς ψεύδεται. Εἰ γὰρ ὑμεῖς ἅμα τοὺς μὲν Ἕλληνας εἰς πόλεμον παρεκαλεῖτε, αὐτοὶ δὲ πρὸς Φίλιππον περὶ εἰρήνης πρέσβεις ἐπέμπετε, Εὐρυβάτου πρᾶγμα, οὐ πόλεως ἔργον, οὐδὲ χρηστῶν ἀνθρώπων, διεπράττεσθε. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Τί γὰρ καὶ βουλόμενοι μετεπέμπεσθ' ἂν αὐτοὺς ἐν τούτῳ τῷ καιρῷ; ἐπὶ τὴν εἰρήνην; ἀλλ' ὑπῆρχεν ἅπασιν· ἀλλ' ἐπὶ τὸν πόλεμον; ἀλλ' αὐτοὶ περὶ εἰρήνης ἐβουλεύεσθε. Οὐκοῦν οὔτε τῆς ἐξαρχῆς εἰρήνης ἡγεμών, οὐδ' αἴτιος ὢν ἐγὼ φαίνομαι, οὔτε τῶν ἄλλων, ὧν κατεψεύσατό μου, οὐδὲν ἀληθὲς ὂν δείκνυται.

Ἐπειδὴ τοίνυν ἐποιήσατο τὴν εἰρήνην ἡ πόλις, ἐνταῦθα πάλιν σκέψασθε τί ἡμῶν ἑκάτερος προείλετο πράττειν· καὶ γὰρ ἐκ τούτων εἴσεσθε τίς ἦν ὁ Φιλίππῳ πάντα συναγωνιζόμενος, καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν, καὶ τὸ τῇ πόλει συμφέρον ζητῶν.

Mais ce n'est pas moi seulement, c'est la république qu'il calomnie, qu'il charge des accusations les plus graves. En effet, Athéniens, si vous excitiez les autres Grecs à la guerre, dans le temps même que vous députiez à Philippe pour la paix, vous agissiez en vrais Eurybates, et non en gens d'honneur et dignes de la république. Mais il n'est rien de cela; non, il n'en est rien. A quel dessein, je vous prie, auriez-vous député vers les Grecs dans cette circonstance? Pour les amener à la paix? mais ils en jouissaient tous : pour les exciter à la guerre? mais vous-mêmes, vous délibériez sur la paix. Il est donc manifeste que je n'ai été ni l'auteur, ni la cause de la paix d'alors, et, par conséquent, qu'il n'y a rien de vrai dans tous les discours d'Eschine à cette occasion.

Depuis que la paix eut été résolue, examinez encore quelle fut sa conduite et la mienne : cet examen vous fera connaître celui de nous deux qui travaillait avec Philippe, et celui qui n'était occupé que de vous

Χωρὶς δὲ τούτων,	Mais outre ces choses,
διαβάλλει καὶ τὴν πόλιν	il calomnie aussi la ville
τὰ μέγιστα	le plus grandement
ἐν οἷς ψεύδεται.	dans *les choses* qu'il dit-faussement
Εἰ γὰρ ὑμεῖς ἅμα	Car si vous en-même temps
παρεκαλεῖτε μὲν τοὺς Ἕλληνας	exhortiez les Grecs
εἰς πόλεμον,	à la guerre,
αὐτοὶ δὲ	mais vous-mêmes
ἐπέμπετε πρέσβεις	envoyiez des députés
πρὸς Φίλιππον περὶ εἰρήνης,	vers Philippe touchant la paix,
διεπράττεσθε πρᾶγμα Εὐρυβάτου,[17]	vous tramiez un acte d'Eurybate,
οὐκ ἔργον πόλεως,	non une action de ville,
οὐδὲ ἀνθρώπων χρηστῶν.	ni d'hommes vertueux.
Ἀλλὰ ταῦτα οὐκ ἔστιν,	Mais ces choses ne sont pas,
οὐκ ἔστι.	elles ne sont pas.
Καὶ γὰρ τί βουλόμενοι	Et en-effet quoi voulant
ἂν μετεπέμπεσθε αὐτοὺς	auriez-vous-député-vers eux
ἐν τούτῳ τῷ καιρῷ;	dans cette circonstance?
ἐπὶ τὴν εἰρήνην;	pour la paix?
ἀλλὰ ὑπῆρχεν ἅπασιν·	mais elle existait *pour* tous;
ἀλλὰ ἐπὶ τὸν πόλεμον;	mais pour la guerre?
ἀλλὰ αὐτοὶ	mais vous-mêmes
ἐβουλεύεσθε περὶ εἰρήνης.	vous délibériez sur la paix.
Οὐκοῦν ἐγὼ φαίνομαι ὢν	Donc moi je suis-vu étant
οὔτε ἡγεμὼν οὐδὲ αἴτιος	ni auteur ni cause
τῆς εἰρήνης ἐξαρχῆς,	de la paix dès-le-principe,
οὔτε οὐδὲν τῶν ἄλλων	ni aucune des autres choses
ὧν κατεψεύσατό μου	qu'il a dites-faussement-contre moi
δείκνυται ὂν ἀληθές.	est-montrée étant vraie.
Ἐπειδὴ τοίνυν ἡ πόλις	Donc après-que la ville
ἐποιήσατο τὴν εἰρήνην,	eut fait la paix,
ἐνταῦθα πάλιν σκέψασθε	ici de-nouveau examinez
τί ἑκάτερος ἡμῶν	quoi l'un-et-l'autre de nous
προείλετο πράττειν· καὶ γὰρ	a préféré faire; et en-effet
εἴσεσθε ἐκ τούτων,	vous saurez d'après ces choses
τίς ἦν ὁ συναγωνιζόμενος	qui était celui combattant-avec
Φιλίππῳ πάντα,	Philippe *en* toutes choses,
καὶ τίς ὁ πράττων ὑπὲρ ὑμῶν,	et qui celui agissant pour vous,
καὶ ζητῶν τὸ συμφέρον	et cherchant la chose importante
τῇ πόλει.	à la ville.

Ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων ἀποπλεῖν τὴν ταχίστην τοὺς πρέσβεις ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ὄντα Φίλιππον πυνθάνωνται, καὶ τοὺς ὅρκους ἀπολαμβάνειν· οὗτοι δέ, οὐδὲ γράψαντος ἐμοῦ, ταῦτα ποιεῖν ἠθέλησαν. Τί δὲ τοῦτ' ἠδύνατο, ὦ ἄνδρες Ἀθηναῖοι; ἐγὼ διδάξω. Φιλίππῳ μὲν ἦν συμφέρον ὡς πλεῖστον τὸν μεταξὺ χρόνον γενέσθαι τῶν ὅρκων, ὑμῖν δ' ὡς ἐλάχιστον. Διὰ τί; ὅτι ὑμεῖς μέν, οὐκ ἀφ' ἧς ὠμόσατε μόνον ἡμέρας, ἀλλ' ἀφ' ἧς ἠλπίσατε τὴν εἰρήνην ἔσεσθαι, πάσας ἐξελύσασθε τὰς παρασκευὰς τὰς τοῦ πολέμου· ὁ δὲ τοῦτο ἐκ παντὸς τοῦ χρόνου μάλιστα ἐπραγματεύετο, νομίζων, ὅπερ ἦν ἀληθές, ὅσα τῆς πόλεως προλάβοι πρὸ τοῦ τοὺς ὅρκους ἀποδοῦναι, πάντα ταῦτα βεβαίως ἕξειν· οὐδένα γὰρ τὴν εἰρήνην λύσειν τούτων ἕνεκεν. Ἃ ἐγὼ προορώμενος, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ λογιζόμενος, τοῦτο τὸ ψήφισμα γράφω, πλεῖν ἐπὶ τοὺς τόπους ἐν οἷς ἂν ᾖ Φίλιππος,

et des intérêts de l'État. Je portai, en qualité de sénateur, un décret qui enjoignait aux députés de se rendre, au plus tôt, dans les lieux où ils auraient appris que se trouvait Philippe, et de recevoir les serments; ce qu'ils ont refusé de faire, malgré mon décret Il faut vous apprendre, Athéniens, combien il importait d'user de diligence. Philippe, pour son avantage, devait différer les serments; et vous, pour le vôtre, vous auriez dû les hâter. Pourquoi? c'est que vous, vous interrompîtes tous les préparatifs de guerre, je ne dis pas du jour où vous aviez juré la paix, mais du jour même où vous l'aviez espérée. C'est ce que Philippe avait toujours cherché. Il pensait, et il pensait juste, qu'on ne lui disputerait pas ce qu'il aurait pris avant la conclusion du traité, et qu'on ne voudrait pas le rompre pour quelques places. Prévoyant donc ses intentions, et songeant à les prévenir, je

Ἐγὼ μὲν τοίνυν ἔγραψα βουλεύων	Moi donc j'ecrivis étant-sénateur
τοὺς πρέσβεις ἀποπλεῖν	les députés naviguer-d'*ici*
τὴν ταχίστην[18]	le plus promptement
ἐπὶ τοὺς τόπους ἐν οἷς	vers les lieux dans lesquels
ἂν πυνθάνωνται Φίλιππον ὄντα,	ils apprendraient Philippe étant,
καὶ ἀπολαμβάνειν τοὺς ὅρκους·	et recevoir les serments;
οὗτοι δέ,	mais ceux-ci,
οὐδὲ ἐμοῦ γράψαντος,	pas-*même* moi ayant-écrit,
ἠθέλησαν ποιεῖν ταῦτα.	*ne* voulurent faire ces choses.
Τί δὲ τοῦτο ἠδύνατο,	Mais quoi cela pouvait-il,
ὦ ἄνδρες Ἀθηναῖοι;	ô hommes Athéniens?
ἐγὼ διδάξω.	moi je *l'*apprendrai.
Ἦν μὲν συμφέρον Φιλίππῳ	Il était important à Philippe
τὸν χρόνον μεταξὺ τῶν ὅρκων	le temps entre les serments
εἶναι ὡς πλεῖστον,	être le plus long,
ὑμῖν δὲ ὡς ἐλάχιστον.	mais à vous le plus court.
Διὰ τί;	Pourquoi?
ὅτι ὑμεῖς μὲν	par-ce-que vous
ἐξελύσασθε	vous avez interrompu
πάσας τὰς παρασκευὰς	tous les préparatifs,
τὰς τοῦ πολέμου,	ceux de la guerre,
οὐ μόνον ἀπὸ ἡμέρας	non-seulement depuis le jour
ἧς ὠμόσατε,	*depuis* lequel vous avez juré,
ἀλλὰ ἀπὸ ἧς ἠλπίσατε	mais depuis lequel vous avez espéré
τὴν εἰρήνην ἔσεσθαι·	la paix devoir-être;
ὁ δὲ ἐπραγματεύετο τοῦτο μάλιστα	mais lui s'occupait de cela surtout
ἐκ παντὸς τοῦ χρόνου,	de tout le temps,
νομίζων, ὅπερ ἦν ἀληθές,	pensant, ce qui était vrai,
ἕξειν βεβαίως	devoir-avoir sûrement
πάντα ταῦτα, ὅσα	toutes ces choses, toutes-celles-que
προλάβοι τῆς πόλεως	il prendrait-d'avance *sur* la ville
πρὸ τοῦ ἀποδοῦναι τοὺς ὅρκους·	avant le avoir-donné les serments;
οὐδένα γὰρ λύσειν τὴν εἰρήνην	car personne devoir-rompre la paix
ἕνεκεν τούτων.	à-cause de ces choses.
Ἃ ἐγὼ προορώμενος,	Lesquelles moi prévoyant,
καὶ λογιζόμενος,	et calculant,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
γράφω τοῦτο τὸ ψήφισμα,	j'écris ce décret,
πλεῖν ἐπὶ τοὺς τόπους	naviguer vers les lieux
ἐν οἷς ἂν ᾖ Φίλιππος,	dans lesquels serait Philippe

καὶ τοὺς ὅρκους τὴν ταχίστην ἀπολαμβάνειν· ἵν' ἐχόντων τῶν Θρᾳκῶν, τῶν ὑμετέρων συμμάχων, τὰ χωρία ταῦθ' ἃ νῦν οὗτος διέσυρε, τὸ Σέρριον, καὶ τὸ Μύρτιον, καὶ τὴν Ἐργίσκην, οὕτω γίγνοιντ' οἱ ὅρκοι, καὶ μὴ προλαβὼν ἐκεῖνος τοὺς ἐπικαίρους τῶν τόπων, κύριος τῆς Θρᾴκης κατασταίη, μηδὲ πολλῶν μὲν χρημάτων, πολλῶν δὲ στρατιωτῶν εὐπορήσας, ἐκ τούτων ῥᾳδίως τοῖς λοιποῖς ἐπιχειροίη πράγμασιν. Εἶτα τοῦτο μὲν οὐχὶ λέγει τὸ ψήφισμα, οὐδ' ἀναγινώσκει· εἰ δὲ βουλεύων ἐγὼ προσάγειν τοὺς πρέσβεις ᾤμην δεῖν, τοῦτό μου διαβάλλει. Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; μὴ προσάγειν γράψαι τοὺς ἐπὶ τοῦθ' ἥκοντας, ἵν' ὑμῖν διαλεχθῶσιν; ἢ θέαν μὴ κατανεῖμαι τὸν ἀρχιτέκτονα αὐτοῖς κελεῦσαι; ἀλλ' ἐν τοῖν δυοῖν ὀβολοῖν ἐθεώρουν ἄν, εἰ μὴ τοῦτ' ἐγράφη. Τὰ μικρὰ συμφέροντα τῆς πόλεως ἔδει με φυλάττειν, τὰ δ' ὅλα, ὥσπερ οὗτοι, πεπρακέναι Φιλίππῳ; οὐ δήπου.

portai un décret qui ordonnait aux députés de le joindre au plus tôt, pour recevoir son serment. La paix aurait été ainsi conclue, sans que les Thraces, vos alliés, eussent perdu les places dont Eschine se raillait tout à l'heure, Serrio, Myrte, Ergisque; sans que Philippe se fût rendu maître de la Thrace, en s'emparant des postes les plus avantageux ; sans qu'il eût acquis des facilités pour conquérir le reste de la Grèce, en augmentant son trésor et le nombre de ses soldats. Et mon adversaire, qui ne dit pas un mot de ce décret, qui n'a garde de le produire, me fait un crime de ce qu'en qualité de sénateur, j'ai admis à votre audience les députés du prince. Mais que devais-je faire, Athéniens? Devais-je écarter de votre audience des hommes qui venaient exprès pour conférer avec vous? Devais-je encore ne pas faire donner l'ordre de leur accorder une place au spectacle? Mais ils en auraient eu pour deux oboles, si cet ordre n'avait pas été donné. Fallait-il ménager ces minces intérêts de la république, et

καὶ ἀπολαμβάνειν τοὺς ὅρκους	et recevoir les serments
τὴν ταχίστην·	le plus promptement;
ἵνα, τῶν Θρᾳκῶν,	afin que, les Thraces
τῶν συμμάχων ὑμετέρων,	les alliés vôtres,
ἐχόντων ταῦτα τὰ χωρία	ayant ces places
ἃ οὗτος διέσυρε νῦν,	que celui-ci dénigrait tout-à-l'heure,
τὸ Σέρριον, καὶ τὸ Μύρτιον,	Serrio, et Myrte,
καὶ τὴν Ἐργίσκην[19],	et Ergisque,
οἱ ὅρκοι γίγνοιντο οὕτω,	les serments eussent-lieu ainsi,
καὶ ἐκεῖνος μὴ κατασταίη	et *que* celui-là ne s'établit pas
κύριος τῆς Θρᾴκης,	maître de la Thrace,
προλαβὼν	ayant-pris-d'avance
τοὺς ἐπικαίρους τῶν τόπων,	les favorables des lieux,
μηδὲ εὐπορήσας	ni *que* s'étant-bien-pourvu
χρημάτων μὲν πολλῶν	de sommes-d'argent nombreuses
στρατιωτῶν δὲ πολλῶν,	et de soldats nombreux,
ἐκ τούτων	au-moyen-de ces *ressources*
ἐπιχειροίη ῥᾳδίως	il *n'*étendît-la-main facilement
τοῖς πράγμασι λοιποῖς.	*sur* les affaires restant.
Εἶτα οὐχὶ λέγει μὲν	Ensuite il ne dit pas
τοῦτο τὸ ψήφισμα,	ce décret,
οὐδὲ ἀναγινώσκει·	et-ne *le* lit pas;
εἰ δὲ ἐγὼ βουλεύων	mais si moi étant-sénateur
ᾤμην δεῖν	j'ai cru falloir
προσάγειν τοὺς πρέσβεις,	introduire les députés,
διαβάλλει μου τοῦτο.	il reproche à moi cela.
Ἀλλὰ τί ἐχρῆν με ποιεῖν;	Mais quoi fallait-il moi faire?
μὴ γράψαι προσάγειν	ne-pas écrire d'introduire
τοὺς ἥκοντας ἐπὶ τοῦτο,	ceux venant pour cela,
ἵνα διαλεχθῶσιν ὑμῖν;	afin-qu'ils conférassent-avec vous?
ἢ μὴ κελεῦσαι τὸν ἀρχιτέκτονα[20]	ou ne-pas ordonner l'entrepreneur
κατανεῖμαι θέαν αὐτοῖς;	accorder le spectacle à eux?
ἀλλὰ ἂν ἐθεώρουν	mais ils auraient-vu-le-spectacle
ἐν τοῖν δυοῖν ὀβολοῖν,	pour les deux oboles,
εἰ τοῦτο μὴ ἐγράφη	si cela n'eût été-décrété.
Ἔδει με φυλάττειν	Fallait-il moi conserver
τὰ μικρὰ συμφέροντα τῆς πόλεως,	les petits intérêts de la ville,
πεπρακέναι δὲ τὰ ὅλα	et avoir-vendu le tout
Φιλίππῳ,	à Philippe,
ὥσπερ οὗτοι; οὐ δήπου.	comme ceux-ci? non certes.

Λέγε τοίνυν μοι τὸ ψήφισμα τουτὶ λαβών, ὃ σαφῶς εἰδὼς οὗτος παρέβη. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Μνησιφίλου, Ἑκατομβαιῶνος ἕνῃ καὶ νέᾳ, φυλῆς πρυτανευούσης Πανδιονίδος, Δημοσθένης Δημοσθένους Παιανιεὺς εἶπεν· Ἐπειδὴ Φίλιππος, ἀποστείλας πρέσβεις περὶ τῆς εἰρήνης, ὁμολογουμένας πεποίηται συνθήκας, δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῷ Ἀθηναίων, ὅπως ἂν ἡ εἰρήνη ἐπιτελεσθῇ, ἡ ἐπιχειροτονηθεῖσα ἐν τῇ πρώτῃ ἐκκλησίᾳ, πρέσβεις ἑλέσθαι ἐκ πάντων Ἀθηναίων ἤδη πέντε· τοὺς δὲ χειροτονηθέντας ἀποδημεῖν, μηδεμίαν ἀναβολὴν ποιουμένους, ὅπου ἂν ὄντα πυνθάνωνται τὸν Φίλιππον, καὶ τοὺς ὅρκους λαβεῖν τε παρ' αὐτοῦ καὶ δοῦναι τὴν ταχίστην, ἐπὶ ταῖς ὡμολογημέναις συνθήκαις αὐτῷ πρὸς τὸν Ἀθηναίων δῆμον, συμπεριλαμβάνοντας καὶ τοὺς ἑκατέρων συμμάχους. Πρέσβεις ἠρέθησαν, Εὔβουλος Ἀναφλύ-

vendre, comme ces traîtres, l'État entier à Philippe? Non, certes.

Greffier, lisez le décret sur lequel Eschine a passé fort sciemment Lisez.

DÉCRET.

« Sous l'archonte Mnésiphile, le dernier jour du mois Hécatombéon, pendant la présidence de la tribu Pandionide, Démosthène, fils de Démosthène, de Péanée, a dit : Attendu que Philippe, ayant envoyé aux Athéniens une ambassade pour la paix, est convenu avec eux des articles du traité; il a semblé bon au sénat et au peuple d'Athènes, pour conclure la paix décidée dans la première assemblée, de choisir cinq députés parmi tous les Athéniens, avec ordre de se rendre, sans aucun délai, où ils apprendront que sera le prince, de recevoir au plus tôt son serment, et de comprendre dans le traité convenu entre lui et le peuple d'Athènes, les alliés de l'un et de l'autre. Ont

Λέγε τοίνυν μοι, λαβών,
τουτὶ τὸ ψήφισμα,
ὃ οὗτος παρέβη
εἰδὼς σαφῶς. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Μνησιφίλου ἄρχοντος,
ἕνῃ καὶ νέᾳ
Ἑκατομβαιῶνος,
φυλῆς Πανδιονίδος
πρυτανευούσης[21],
Δημοσθένης Δημοσθένους
Παιανιεὺς εἶπεν·
Ἐπειδὴ Φίλιππος,
ἀποστείλας πρέσβεις
περὶ τῆς εἰρήνης,
πεποίηται συνθήκας
ὁμολογουμένας,
δεδόχθαι τῇ βουλῇ
καὶ τῷ δήμῳ τῶν Ἀθηναίων,
ὅπως ἡ εἰρήνη,
ἡ ἐπιχειροτονηθεῖσα[22]
ἐν τῇ πρώτῃ ἐκκλησίᾳ,
ἂν ἐπιτελεσθῇ,
πέντε πρέσβεις ἑλέσθαι ἤδη
ἐκ πάντων Ἀθηναίων·
τοὺς δὲ χειροτονηθέντας,
ποιουμένους μηδεμίαν ἀναβολήν,
ἀποδημεῖν ὅπου ἂν πυνθάνωνται
τὸν Φίλιππον ὄντα,
καὶ λαβεῖν τε παρὰ αὐτοῦ
καὶ δοῦναι τοὺς ὅρκους,
τὴν ταχίστην,
ἐπὶ ταῖς συνθήκαις
ὡμολογημέναις αὐτῷ
πρὸς τὸν δῆμον Ἀθηναίων,
συμπεριλαμβάνοντας
καὶ τοὺς συμμάχους ἑκατέρων.
Ἠρέθησαν πρέσβεις,
Εὔβουλος Ἀναφλύστιος,

Dis donc à moi, l'ayant-pris,
ce décret,
que celui-ci a passé
le sachant évidemment. Dis.

DÉCRET.

« Sous Mnésiphile archonte,
l'ancien et nouveau *jour*
d'Hécatombéon,
la tribu Pandionide
ayant-la-prytanie,
Démosthène *fils* de Démosthène
de-Péanée a dit :
Puisque Philippe,
ayant-envoyé des députés
au-sujet-de la paix,
a fait les clauses
étant-consenties,
avoir-paru-bon au-sénat
et au peuple des Athéniens,
afin que la paix,
celle ayant-été-votée
dans la première assemblée,
pût-être-conclue,
cinq députés être-choisis aussitôt
de tous les Athéniens;
et ceux ayant-été-élus,
faisant aucun ajournement,
s'en-aller où ils apprendront
Philippe étant,
et recevoir de-la-part-de lui
et donner les serments
le plus promptement,
au-sujet des conventions
ayant-été-consenties *par* lui
envers le peuple des Athéniens
comprenant
aussi les alliés des deux.
Ont-été-choisis députés,
Eubule d'Anaphlyste,

στιος, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης, Κηφισοφῶν Ῥαμνούσιος, Δημοκράτης Φλυεύς, Κλέων Κοθωκίδης. »

Ταῦτα γράψαντος ἐμοῦ τότε, καὶ τὸ τῇ πόλει συμφέρον, οὐ τὸ Φιλίππῳ, ζητοῦντος, βραχὺ φροντίσαντες οἱ χρηστοὶ πρέσβεις οὗτοι, κάθηντο ἐν Μακεδονίᾳ τρεῖς ὅλους μῆνας, ἕως ἦλθε Φίλιππος ἐκ Θρᾴκης, πάντα καταστρεψάμενος τἀκεῖ, ἐξὸν ἡμερῶν δέκα, μᾶλλον δὲ τριῶν ἢ τεττάρων, εἰς τὸν Ἑλλήσποντον ἀφῖχθαι, καὶ τὰ χωρία σῶσαι, λαβόντας τοὺς ὅρκους πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά. Οὐ γὰρ ἂν ἥψατ' αὐτῶν, παρόντων ἡμῶν, ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν· ὥςτε τῆς εἰρήνης ἂν διημαρτήκει, καὶ οὐκ ἂν ἀμφότερα εἶχε, καὶ τὴν εἰρήνην καὶ τὰ χωρία.

Τὸ μὲν τοίνυν ἐν τῇ πρεσβείᾳ πρῶτον κλέμμα μὲν Φιλίππου, δωροδόκημα δὲ τῶν ἀδίκων τούτων ἀνθρώπων καὶ θεοῖς ἐχθρῶν, τοιοῦτον ἐγένετο· ὑπὲρ οὗ καὶ τότε, καὶ νῦν, καὶ ἀεὶ ὁμολογῶ πολεμεῖν καὶ διαφέρεσθαι τουτοισί. Ἕτερον δ' εὐθὺς ἐφεξῆς ἔτι τούτου μεῖζον κακούργημα θεάσασθε.

été nommés pour la députation, Eubule d'Anaphlyste, Eschine, fils d'Atromète, de Cothoce, Céphisophon de Rhamnuse, Démocrate de Phlyes, Cléon de Cothoce. »

J'avais porté ce décret pour l'intérêt d'Athènes, et non pour l'avantage de Philippe; nos honnêtes députés n'en firent aucun cas; ils s'arrêtèrent trois mois entiers en Macédoine, jusqu'au retour du prince, qui eut le temps de subjuguer toute la Thrace. Ils pouvaient cependant, dans l'espace de dix jours, ou plutôt de trois ou quatre, arriver dans l'Hellespont, prévenir Philippe, et sauver les places en lui faisant jurer la paix : car, sans doute, il ne les aurait pas attaquées en notre présence, ou, ne recevant pas son serment, nous n'aurions point fait la paix, et il n'aurait pas joui du double avantage de la paix et des places.

Voilà quel fut dans l'ambassade le premier trait, et de fourberie de la part de Philippe, et de vénalité de la part de ces hommes pervers et ennemis des dieux. Aussi je déclare que je fus, que je suis, que je serai toujours ennemi de pareils hommes, et opposé à leurs desseins. Mais vous allez voir une autre perfidie plus grande encore que la première.

Αἰσχίνης Ἀτρομήτου	Eschine *fils* d'Atromète
Κοθωκίδης,	de-Cothoce,
Κηφισοφῶν Ῥαμνούσιος,	Céphisophon de-Rhamnuse,
Δημοκράτης Φλυεύς,	Démocrate de-Phlyes,
Κλέων Κοθωκίδης. »	Cléon de-Cothoce. »
Ἐμοῦ γράψαντος ταῦτα τότε,	Moi ayant-écrit ces choses alors,
καὶ ζητοῦντος τὸ συμφέρον	et cherchant la chose important
τῇ πόλει, οὐ τὸ Φιλίππῳ,	à la ville, non celle à Philippe,
οὗτοι οἱ πρέσβεις χρηστοί,	ces députés honnêtes,
φροντίσαντες βραχύ,	s'étant-inquiétés peu,
κάθηντο ἐν Μακεδονίᾳ	restèrent-assis en Macédoine
τρεῖς μῆνας ὅλους,	trois mois entiers,
ἕως Φίλιππος	jusqu'à-ce-que Philippe
ἦλθεν ἐκ Θρᾴκης,	revint de Thrace,
καταστρεψάμενος πάντα τὰ ἐκεῖ,	ayant-soumis toutes les choses de-là,
ἐξὸν ἀφῖχθαι	étant-possible d'arriver
εἰς τὸν Ἑλλήσποντον δέκα ἡμερῶν,	à l'Hellespont *en* dix jours,
μᾶλλον δὲ τριῶν ἢ τεττάρων,	et plutôt *en* trois ou quatre,
καὶ σῶσαι τὰ χωρία,	et de sauver les places,
λαβόντας τοὺς ὅρκους	ayant-pris les serments
πρὶν ἐκεῖνον ἐξελεῖν αὐτά.	avant celui-ci avoir-enlevé elles.
Οὐ γὰρ ἂν ἥψατο αὐτῶν,	Car il n'aurait pas touché à elles,
ἡμῶν παρόντων,	nous étant-présents,
ἢ οὐκ ἂν ὡρκίζομεν αὐτόν·	ou nous n'aurions pas fait-jurer lui;
ὥςτε ἂν διημαρτήκει τῆς εἰρήνης,	de-sorte-que il aurait manqué la paix,
καὶ οὐκ ἂν εἶχεν ἀμφότερα,	et il n'aurait pas eu les deux,
καὶ τὴν εἰρήνην καὶ τὰ χωρία.	et la paix et les places
Τοιοῦτον μὲν τοίνυν ἐγένετο	Tel fut donc
ἐν τῇ πρεσβείᾳ	dans l'ambassade
τὸ πρῶτον κλέμμα μὲν Φιλίππου,	le premier vol de Philippe,
δωροδόκημα δὲ	et acceptation-de-présents
τούτων τῶν ἀνθρώπων ἀδίκων	de ces hommes injustes
καὶ ἐχθρῶν θεοῖς·	et ennemis des dieux;
ὑπὲρ οὗ	à-cause-de laquelle chose
ὁμολογῶ πολεμεῖν	je conviens faire-la-guerre
καὶ διαφέρεσθαι τουτοισί,	et être opposé à eux,
καὶ τότε, καὶ νῦν, καὶ ἀεί.	et alors, et maintenant, et toujours.
Θεάσασθε δὲ εὐθὺς ἐφεξῆς	Mais considérez aussitôt ensuite
ἕτερον κακούργημα	un autre méfait
ἔτι μεῖζον τούτου.	encore plus-grand *que* celui-ci.

Ἐπειδὴ γὰρ ὤμοσε τὴν εἰρήνην ὁ Φίλιππος, προλαβὼν τὴν Θρᾴκην διὰ τούτους οὐχὶ πεισθέντας τῷ ἐμῷ ψηφίσματι, πάλιν ὠνεῖται παρ' αὐτῶν ὅπως μὴ ἀπίωσιν ἐκ Μακεδονίας, ἕως ἂν τὰ τῆς στρατείας τῆς ἐπὶ τοὺς Φωκέας εὐτρεπῆ ποιήσαιτο, ἵνα μή, δεῦρο ἀπαγγειλάντων αὐτῶν ὅτι μέλλει καὶ παρασκευάζεται πορεύεσθαι, ἐξέλθοιτε ὑμεῖς, καὶ περιπλεύσαντες ταῖς τριήρεσιν εἰς Πύλας, ὥςπερ πρότερον, κλείσαιτε τὸν πορθμόν, ἀλλ' ἅμ' ἀκούοιτε ταῦτα ἀπαγγελλόντων ὑμῖν τούτων, κἀκεῖνος ἐντὸς εἴη Πυλῶν, καὶ μηδὲν ἔχοιθ' ὑμεῖς ποιῆσαι. Οὕτω δ' ἦν ὁ Φίλιππος ἐν φόβῳ καὶ πολλῇ ἀγωνίᾳ, μὴ καὶ ταῦτα προειληφότος αὐτοῦ, πρὸ τοῦ τοὺς Φωκέας ἀπολέσθαι, ἀκούσαντες ψηφίσαισθε βοηθεῖν αὐτοῖς, καὶ ἐκφύγοι τὰ πραλμάτ' αὐτόν, ὥςτε πάλιν

Philippe avait juré la paix, après s'être assuré de la Thrace, grâce à ces députés corrompus qui n'avaient tenu compte de mon décret; il obtient encore d'eux, à prix d'argent, qu'ils ne sortiraient pas de Macédoine jusqu'à ce qu'il eût tout disposé pour aller attaquer les Phocéens. Il voulait sans doute, que, n'ayant ici par vos députés aucune nouvelle de son expédition prochaine, vous ne songeassiez pas à prendre les armes et à vous mettre en mer pour lui fermer, comme vous aviez déjà fait, le passage des Thermopyles; qu'enfin vous n'apprissiez d'eux son vrai dessein, que lorsqu'il aurait déjà franchi ce passage, et qu'il ne vous resterait plus rien à faire. Maie, comme il tremblait encore que, malgré l'occupation des Thermopyles, vous ne vous déterminassiez, à cette nouvelle, à secourir les Phocéens avant leur entière destruction, et qu'ainsi il ne manquât le succès de son entreprise, il sépare Eschine de ses collègues, et le payant en particulier, il

Ἐπειδὴ γὰρ ὁ Φίλιππος	Car après que Philippe
ὤμοσε τὴν εἰρήνην,	eut juré la paix,
προλαβὼν τὴν Θρᾴκην	ayant-pris-d'abord la Thrace
διὰ τούτους	au-moyen-de ceux-ci
οὐχὶ πεισθέντας	n'ayant-pas-obéi
τῷ ἐμῷ ψηφίσματι,	au mien décret,
ὠνεῖται πάλιν παρὰ αὐτῶν	il achète de-nouveau d'eux
ὅπως μὴ ἀπίωσιν	qu'ils ne s'en aillent pas
ἐκ Μακεδονίας,	de la Macédoine,
ἕως ἂν ποιήσαιτο	jusqu'à-ce qu'il aurait fait
εὐτρεπῆ	bien-disposées
τὰ τῆς στρατείας	les choses de l'expédition
τῆς ἐπὶ τοὺς Φωκέας,	celle contre les Phocéens,
ἵνα ὑμεῖς μὴ ἐξέλθοιτε,	afin-que vous ne sortissiez pas,
αὐτῶν ἀπαγγειλάντων δεῦρο	eux ayant-annoncé ici
ὅτι μέλλει	qu'il doit
καὶ παρασκευάζεται πορεύεσθαι,	et se-prépare à marcher,
καὶ περιπλεύσαντες	et *qu'*ayant-navigué-autour
εἰς Πύλας	vers les Thermopyles
ταῖς τριήρεσιν,	*avec* les trirèmes,
κλείσαιτε τὸν πορθμόν,	vous *ne* fermassiez *pas* le défilé,
ὥςπερ πρότερον,	comme auparavant,
ἀλλὰ ἅμα	mais *que* en même temps
ἀκούοιτε τούτων	vous entendissiez ceux-ci
ἀπαγγελλόντων ταῦτα ὑμῖν,	annonçant ces choses à vous,
καὶ ἐκεῖνος εἴη	et *que* celui-là fût
ἐντὸς Πυλῶν,	en-dedans des Thermopyles,
καὶ ὑμεῖς ἔχοιτε μηδὲν ποιῆσαι	et *que* vous *n'*eussiez rien à faire.
Ὁ δὲ Φίλιππος ἦν οὕτως	Or Philippe était tellement
ἐν φόβῳ	dans une crainte
καὶ ἀγωνίᾳ πολλῇ,	et une inquiétude grande,
μή[23], καὶ αὐτοῦ	que, même lui
προειληφότος ταῦτα,	ayant-pris-d'avance ces choses,
ἀκούσαντες	*l'*ayant-entendu
πρὸ τοῦ τοὺς Φωκέας	avant le les Phocéens
ἀπολέσθαι,	avoir-été-perdus,
ψηφίσαισθε βοηθεῖν αὐτοῖς,	vous *ne* décrétassiez de secourir eux,
καὶ τὰ πράγματα	et *que* les affaires
ἐκφύγοι αὐτόν,	*n'*échappassent à lui,
ὥςτε μισθοῦται πάλιν	qu'il soudoie encore

μισθοῦται τὸν κατάπτυστον τουτονί, οὐκ ἔτι κοινῇ μετὰ τῶν ἄλλων πρέσβεων, ἀλλὰ ἰδίᾳ καθ' αὑτόν, τοιαῦτα πρὸς ὑμᾶς εἰπεῖν καὶ ἀπαγγεῖλαι, δι' ὧν ἅπαντ' ἀπώλετο.

Ἀξιῶ δέ, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ δέομαι, τοῦτο μεμνῆσθαι ὑμᾶς παρ' ὅλον τὸν ἀγῶνα, ὅτι, μὴ κατηγορήσαντος Αἰσχίνου μηδὲν ἔξω τῆς γραφῆς, οὐδ' ἂν ἐγὼ λόγον οὐδένα ἐποιούμην ἕτερον· ἁπάσαις δ' αἰτίαις καὶ βλασφημίαις ἅμα τούτου κεχρημένου, ἀνάγκη κἀμοὶ πρὸς ἕκαστα τῶν κατηγορημένων μικρὰ ἀποκρίνεσθαι.

Τίνες οὖν ἦσαν οἱ παρὰ τούτου λόγοι τότε ῥηθέντες, καὶ δι' οὓς ἅπαντ' ἀπώλετο; ὡς οὐ δεῖ θορυβεῖσθαι τῷ παρεληλυθέναι Φίλιππον εἴσω Πυλῶν· ἔσται γὰρ ἅπανθ' ὅσα βούλεσθ' ὑμεῖς, ἐὰν ἄγητ' ἡσυχίαν, καὶ ἀκούσεσθε, δυοῖν ἢ τριῶν ἡμερῶν, οἷς μὲν ἐχθρὸς ἥκει, φίλον αὐτὸν γεγενημένον, οἷς δὲ φίλος, τοὐναντίον ἐχθρόν. Οὐ γὰρ τὰ ῥήματα τὰς οἰκειότητας ἔφη βε-

engage cette âme vénale à vous tenir des discours, à vous faire des promesses, qui ont tout perdu.

Je vous prie, Athéniens, et vous supplie de ne pas oublier, dans toute la suite de ma justification, que si Eschine, en m'accusant, ne fût pas sorti de son sujet, je ne dirais rien d'étranger à la cause; mais, puisqu'il ne m'a pas épargné les imputations calomnieuses, je suis obligé de répondre en peu de mots à chacun de ses reproches.

Quels étaient donc alors ces discours et ces promesses qui vous ont été si funestes? Il ne faut pas, disait-il, vous alarmer de ce que Philippe a passé les Thermopyles : tout ira selon vos désirs si vous vous tenez en repos; et vous apprendrez, dans deux ou trois jours, qu'il est devenu l'ami de ceux dont il paraissait l'ennemi, et l'ennemi de ceux dont il se disait l'ami. Il ajoutait, d'un ton grave et sentencieux, que ce n'étaient point les paroles qui cimentaient les amitiés, mais l'unité

τουτονὶ τὸν κατάπτυστον,	celui-ci le digne-d'être-conspué,
οὐκ ἔτι κοινῇ	non plus en-commun
μετὰ τῶν ἄλλων πρέσβεων,	avec les autres députés,
ἀλλὰ ἰδίᾳ κατὰ αὑτόν,	mais en-particulier à lui-même,
εἰπεῖν καὶ ἀπαγγεῖλαι πρὸς ὑμᾶς	*pour* dire et promettre à vous
τοιαῦτα, διὰ ὧν	de telles choses, par lesquelles
ἅπαντα ἀπώλετο.	toutes *les affaires* ont-été-perdues.
Ἀξιῶ δὲ καὶ δέομαι,	Mais je prie et supplie,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ὑμᾶς μεμνῆσθαι τοῦτο	vous vous-rappeler ceci
παρὰ τὸν ἀγῶνα ὅλον, ὅτι,	pendant le débat tout-entier, que
Αἰσχίνου	Eschine
μὴ κατηγορήσαντος μηδὲν	n'ayant-dénoncé rien
ἔξω τῆς γραφῆς,	hors de l'accusation,
οὐδὲ ἐγὼ ἂν ἐποιούμην	ni moi je ne ferais
οὐδένα λόγον ἕτερον·	aucun discours autre;
τούτου δὲ κεχρημένου	mais celui-ci s'étant-servi
ἁπάσαις αἰτίαις	de toutes inculpations
καὶ βλασφημίαις ἅμα,	et calomnies en-même-temps,
ἀνάγκη καὶ ἐμοὶ	nécessité *est* aussi à moi
ἀποκρίνεσθαι μικρὰ	de répondre de courtes *choses*
πρὸς ἕκαστα	à chacune
τῶν κατηγορημένων.	de celles ayant-été-dites-contre *moi*.
Τίνες ἦσαν οὖν οἱ λόγοι	Quels étaient donc les discours
ῥηθέντες τότε παρὰ αὐτοῦ,	ayant-été-dits alors par lui,
καὶ διὰ οὓς	et par lesquels
ἅπαντα ἀπώλετο;	toutes *les affaires* ont-été-perdues?
ὡς οὐ δεῖ θορυβεῖσθαι	qu'il ne faut pas se-troubler
τῷ Φίλιππον παρεληλυθέναι	du Philippe être-passé
εἴσω Πυλῶν·	en-dedans des Thermopyles;
ὅσα γὰρ ὑμεῖς βούλεσθε	car toutes-les-choses-que vous voulez
ἔσται ἅπαντα,	seront toutes,
ἐὰν ἄγητε ἡσυχίαν[24],	si vous gardez le repos,
καὶ ἀκούσεσθε,	et vous apprendrez
δυοῖν ἢ τριῶν ἡμερῶν,	*dans* deux ou trois jours
αὐτὸν γεγενημένον φίλον	lui étant-devenu ami
οἷς μὲν ἥκει ἐχθρός,	*de ceux* à qui il vient ennemi,
τὸ δὲ ἐναντίον ἐχθρὸν	et au contraire ennemi
οἷς φίλος.	*de ceux* à qui ami.
Ἔφη γὰρ τὰ ῥήματα	Car il disait les paroles

βαιοῦν, μάλα σεμνῶς ὀνομάζων, ἀλλὰ τὸ ταὐτὰ συμφέρειν· συμφέρειν δὲ Φιλίππῳ καὶ Φωκεῦσι καὶ ὑμῖν ὁμοίως ἅπασι, τῆς ἀναλγησίας καὶ τῆς βαρύτητος ἀπαλλαγῆναι τῆς τῶν Θηβαίων. Ταῦτα δ' ἀσμένως τινὲς ἤκουον αὐτοῦ, διὰ τὴν τότ' ὑποῦσαν ἀπέχθειαν πρὸς τοὺς Θηβαίους. Τί οὖν συνέβη μετὰ ταῦτα εὐθύς, οὐκ εἰς μακράν; τοὺς μὲν ταλαιπώρους Φωκέας ἀπολέσθαι, καὶ κατασκαφῆναι τὰς πόλεις αὐτῶν, ὑμᾶς δ' ἡσυχίαν ἄγοντας, καὶ τούτῳ πεισθέντας, μικρὸν ὕστερον σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν, τοῦτον δὲ χρυσίον λαβεῖν, καὶ ἔτι πρὸς τούτοις, τὴν μὲν ἀπέχθειαν, τὴν πρὸς Θηβαίους καὶ Θετταλούς, τῇ πόλει γεγενῆσθαι, τὴν δὲ χάριν, τὴν ὑπὲρ τῶν πεπραγμένων, Φιλίππῳ.

Ὅτι δ' οὕτω ταῦτ' ἔχει, λέγε μοι τό τε τοῦ Καλλισθένους ψήφισμα, καὶ τὴν ἐπιστολὴν τὴν τοῦ Φιλίππου, ἐξ ὧν ἀμφοτέρων ὑμῖν ἅπαντα ταῦτ' ἔσται φανερά. Λέγε.

d'intérêts : or, que c'était également l'intérêt de Philippe, celui des Phocéens et le vôtre, d'abattre au plus tôt l'orgueil insupportable des Thébains. Plusieurs écoutaient ces discours avec plaisir, par la haine qu'on portait alors à ce peuple ; mais qu'arriva-t-il quelques jours après? Les malheureux Phocéens furent perdus sans ressource, leurs villes furent rasées; vous, qui vous endormiez sur la foi de ce traître, vous fûtes bientôt obligés de retirer vos meubles de la campagne; Eschine reçut de l'argent. Ce n'est pas tout : la haine que l'on portait aux Thébains et aux Thessaliens fut pour nous, et l'on sut gré à Philippe de ses succès et de ses conquêtes.

Pour bien prouver qu'il en est ainsi, greffier, lisez-nous le décret de Callisthène et la lettre de Philippe : ces deux pièces prouveront la vérité de ce que j'avance.

οὐ βεβαιοῦν τὰς οἰκειότητας,	ne pas affermir les amitiés,
ὀνομάζων μάλα σεμνῶς,	nommant *les choses* très-gravement,
ἀλλὰ τὸ τὰ αὐτὰ συμφέρειν·	mais le les mêmes choses importer;
συμφέρειν δὲ Φιλίππῳ	or importer à Philippe
καὶ Φωκεῦσι	et aux Phocéens
καὶ ὑμῖν ἅπασιν ὁμοίως	et à vous tous également
ἀπαλλαγῆναι τῆς ἀναλγησίας	d'être-débarrassés de la sottise
καὶ τῆς βαρύτητος	et de l'importunité
τῆς τῶν Θηβαίων. Τινὲς δὲ	celle des Thébains. Or quelques-un
ἤκουον ἀσμένως	entendaient avec-plaisir
ταῦτα αὐτοῦ,	ces choses de lui,
διὰ τὴν ἀπέχθειαν ὑποῦσαν τότε	à-cause de la haine existant alors
πρὸς τοὺς Θηβαίους.	contre les Thébains.
Τί οὖν συνέβη	Quoi donc arriva-t-il
μετὰ ταῦτα,	après ces choses,
εὐθύς, οὐκ εἰς μακραν;	aussitôt, non par un long *chemin?*
τοὺς μὲν ταλαιπώρους Φωκέας	Les malheureux Phocéens
ἀπολέσθαι,	avoir-été-perdus,
καὶ τὰς πόλεις αὐτῶν	et les villes d'eux
κατασκαφῆναι,	avoir-été-rasées,
ὑμᾶς δέ, ἄγοντας ἡσυχίαν,	et vous, gardant le repos,
καὶ πεισθέντας τούτῳ,	et ayant-été-persuadés *par* celui-ci,
μικρὸν ὕστερον	peu après
σκευαγωγεῖν ἐκ τῶν ἀγρῶν,	emporter-vos-meubles des champs,
τοῦτον δὲ λαβεῖν χρυσίον,	et celui-ci avoir-reçu de l'or,
καὶ ἔτι πρὸς τούτοις,	et encore outre ces choses,
τὴν μὲν ἀπέχθειαν	la haine
τὴν πρὸς Θηβαίους	celle contre les Thébains
καὶ Θετταλοὺς	et les Thessaliens
γεγενῆσθαι τῇ πόλει,	être-devenue *pour* la ville,
τὴν δὲ χάριν,	mais la reconnaissance,
τὴν ὑπὲρ τῶν πεπραγμένων,	celle pour les choses ayant-été-faites,
Φιλίππῳ.	*pour* Philippe.
Ὅτι δὲ ταῦτα ἔχει οὕτω,	Mais que ces choses sont ainsi,
λέγε μοι	dis à moi
τό τε ψήφισμα τοῦ Καλλισθένους,	et le décret de Callisthène,
καὶ τὴν ἐπιστολὴν	et la lettre
τὴν τοῦ Φιλίππου,	celle de Philippe,
ἐξ ὧν ἀμφοτέρων ἅπαντα ταῦτα	desquels deux toutes ces choses
ἔσται φανερὰ ὑμῖν. Λέγε.	seront évidentes *pour* vous. Dis.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Μνησιφίλου ἄρχοντος, συγκλήτου ἐκκλησίας ὑπὸ στρατηγῶν γενομένης, καὶ πρυτάνεων καὶ βουλῆς γνώμῃ, Μαιμακτηριῶνος δεκάτῃ ἀπιόντος, Καλλισθένης Ἐτεονίκου Φαληρεὺς εἶπε· Μηδένα Ἀθηναίων μηδεμιᾷ παρευρέσει ἐν τῇ χώρᾳ κοιταῖον γίγνεσθαι, ἀλλ' ἐν ἄστει καὶ Πειραιεῖ, ὅσοι μὴ ἐν τοῖς φρουρίοις εἰσὶν ἀποτεταγμένοι. Τούτων δ' ἑκάστους, ἣν παρέλαβον τάξιν, διατηρεῖν, μήτε ἀφημερεύοντας, μήτε ἀποκοιτοῦντας. Ὃς δ' ἂν ἀπειθήσῃ τῷ ψηφίσματι τούτῳ, ἔνοχος ἔστω τοῖς τῆς προδοσίας ἐπιτιμίοις, ἐὰν μή τι ἀδύνατον ἐπιδεικνύῃ περὶ ἑαυτὸν ὄν. Περὶ δὲ τῶν ἀδυνάτων ἐπικρινέτω ὁ ἐπὶ τῶν ὅπλων στρατηγός, καὶ ὁ ἐπὶ τῆς διοικήσεως, καὶ ὁ γραμματεὺς τῆς βουλῆς. Κατακομίζειν δὲ καὶ τὰ ἐκ τῶν ἀγρῶν πάντα τὴν ταχίστην· τὰ μὲν ἐντὸς σταδίων ἑκατὸν εἴκοσιν, εἰς ἄστυ καὶ Πειραιᾶ· τὰ δὲ ἐκτὸς σταδίων ἑκατὸν εἴκοσιν, εἰς

DÉCRET.

« Sous l'archonte Mnésiphile, dans une assemblée extraordinai convoquée par les généraux, avec autorisation des prytanes et du sénat, le vingt et unième jour du mois Mémactérion, Callisthène, fils d'Étéonique, de Phalère, a dit : Qu'aucun Athénien, sous quelque prétexte que ce soit, ne passe la nuit à la campagne ; que tous reviennent à la ville et au Pirée, à l'exception de ceux qui se trouvent distribués dans les garnisons ; que ceux-ci gardent le poste qui leur est assigné, et qu'ils ne s'en éloignent ni le jour ni la nuit. Ceux qui n'obéiront point à ce décret seront coupables des peines portées contre les traîtres, à moins qu'ils ne prouvent l'impossibilité de s'y conformer. Seront juges de cette impossibilité le général d'armes, le questeur, le greffier du sénat. Que tous retirent au plus tôt leurs effets de la campagne. Ceux qui sont en deçà de cent vingt stades les porteront à la ville et au Pirée ; ceux qui sont au delà de cent vingt stades, à Éleusis, à Phyle,

ΨΗΦΙΣΜΑ.	DECRET.
« Ἐπὶ Μνησιφίλου ἄρχοντος,	« Sous Mnésiphile archonte,
ἐκκλησίας συγκλήτου	une assemblée convoquée
ὑπὸ στρατηγῶν [25]	par les généraux
γενομένης, γνώμῃ	ayant-eu-lieu, de l'avis
καὶ πρυτάνεων καὶ βουλῆς,	et des prytanes et du sénat,
δεκάτῃ	le dixième *jour*
Μαιμακτηριῶνος ἀπιόντος,	de Mémactérion déclinant,
Καλλισθένης Ἐτεονίκου	Callisthène *fils* d'Étéonique
Φαληρεὺς εἶπε·	de-Phalère a dit :
Μηδένα Ἀθηναίων	Aucun des Athéniens
μηδεμιᾷ παρευρέσει	*sous* aucun prétexte
γίγνεσθαι κοιταῖον ἐν τῇ χώρᾳ,	être couchant dans la campagne,
ἀλλὰ ἐν ἄστει καὶ Πειραιεῖ,	mais dans la ville et le Pirée,
ὅσοι μὴ εἰσιν	tous-ceux-qui ne sont pas
ἀποτεταγμένοι ἐν τοῖς φρουρίοις.	ayant-été-rangés dans les postes.
Ἑκάστους δὲ τούτων	Et chacun de ceux-ci
διατηρεῖν τάξιν ἣν παρέλαβον,	conserver le rang qu'ils ont reçu,
μήτε ἀφημερεύοντας,	ni s'absentant-le-jour,
μήτε ἀποκοιτοῦντας.	ni découchant.
Ὃς δὲ ἂν ἀπειθήσῃ	Mais *que celui* qui aurait-désobéi
τούτῳ τῷ ψηφίσματι,	à ce décret,
ἔστω ἔνοχος	soit sujet
τοῖς ἐπιτιμίοις τῆς προδοσίας,	aux châtiments de la trahison,
ἐὰν μὴ ἐπιδεικνύῃ	s'il ne montre pas
τὶ ἀδύνατον	quelque chose d'impossible
ὂν περὶ ἑαυτόν.	étant à-l'égard-de lui-même.
Ὁ δὲ στρατηγὸς	Et que le général
ἐπὶ τῶν ὅπλων,	*préposé* pour les armes,
καὶ ὁ ἐπὶ τῆς διοικήσεως,	et celui pour la gestion-des-finances,
καὶ ὁ γραμματεὺς τῆς βουλῆς	et le greffier du sénat
ἐπικρινέτω περὶ τῶν ἀδυνάτων.	juge sur les choses impossibles.
Κατακομίζειν δὲ καὶ τὰ πάντα	Et rapporter aussi toutes les chose
ἐκ τῶν ἀγρῶν τὴν ταχίστην·	des champs le plus promptement :
τὰ μὲν ἐντὸς	celles en-deçà
ἑκατὸν εἴκοσι σταδίων,	de cent vingt stades,
εἰς ἄστυ καὶ Πειραιᾶ·	à la ville et au Pirée ;
τὰ δὲ ἐκτὸς	mais celles en-dehors
ἑκατὸν εἴκοσι σταδιων,	de cent vingt stades,
εἰς Ἐλευσῖνα καὶ Φυλήν,	à Eleusis, et Phyle,

Ἐλευσῖνα, καὶ Φυλήν, καὶ Ἀφιδναν, καὶ Ῥαμνοῦντα, καὶ Σούνιον. Εἶπε Καλλισθένης Φαληρεύς. »

Ἆρ' ἐπὶ ταύταις ταῖς ἐλπίσιν ἐποιεῖσθε τὴν εἰρήνην; ἢ ταῦτ' ἐπηγγέλλετ' ὑμῖν οὗτος ὁ μισθωτός;

Λέγε δ' αὖ τὴν ἐπιστολήν, ἣν δεῦρ' ἔπεμψε Φίλιππος μετὰ ταῦτα.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

« Ἴστε ἡμᾶς παρεληλυθότας εἴσω Πυλῶν, καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς πεποιημένους, καὶ ὅσα μὲν ἑκουσίως προσετίθετο τῶν πολισμάτων φρουρὰς εἰςαγηοχότας· τὰ δὲ μὴ ὑπακούοντα, κατὰ κράτος λαβόντες καὶ ἐξανδραποδισάμενοι, κατεσκάψαμεν. Ἀκούων δὲ ὑμᾶς παρασκευάζεσθαι βοηθεῖν αὐτοῖς, γέγραφα ὑμῖν, ἵνα μὴ ἐπὶ πλεῖον ἐνοχλῆσθε περὶ τούτων. Τοῖς μὲν γὰρ ὅλοις, οὐδὲν μέτριόν μοι δοκεῖτε ποιεῖν, τὴν εἰρήνην συνθέμενοι, καὶ ὁμοίως ἀντιπαρεξάγοντες, καὶ ταῦτα, οὐδὲ συμπεριειλημμένων τῶν Φωκέων ἐν ταῖς κοιναῖς ἡμῶν συνθήκαις.

à Aphnide, à Rhamnuse et à Sunium. Callisthène de Phalère a dit. »

Était-ce, Athéniens, dans cette espérance, que vous aviez conclu la paix? Était-ce là ce que vous avait promis ce vil mercenaire?

Lisez maintenant, greffier, la lettre que Philippe nous écrivit après son expédition.

LETTRE DE PHILIPPE.

« Philippe, roi de Macédoine, au sénat et au peuple d'Athènes, salut.

« Sachez que nous avons passé les Thermopyles et subjugué la Phocide. Nous avons établi des garnisons dans les places qui se sont rendues de bon gré, et nous avons pris de vive force celles qui n'ont pas voulu se rendre; nous les avons rasées, après en avoir réduit les habitants en servitude. Ayant appris que vous vous disposiez à les secourir, je vous écris pour vous inviter à ne plus vous inquiéter en rien de leurs affaires. En général, votre conduite me semble peu mesurée; vous avez fait la paix, et vous faites marcher vos troupes contre moi, et cela pour soutenir les Phocéens qui ne sont nullement

καὶ Ἀφιδναν,
καὶ Ῥαμνοῦντα, καὶ Σούνιον.
Καλλισθένης Φαληρεὺς εἶπεν. »
Ἆρα ἐποιεῖσθε τὴν εἰρήνην
ἐπὶ ταύταις ταῖς ἐλπίσιν;
ἢ οὗτος ὁ μισθωτὸς
ἐπηγγέλλετο ταῦτα ὑμῖν;
Λέγε δὲ αὖ τὴν ἐπιστολὴν
ἣν Φίλιππος ἔπεμψε δεῦρο
μετὰ ταῦτα.

et Aphidne,
et Rhamnuse, et Sunium.
Callisthène de-Phalère a dit. »
Est-ce que vous faisiez la paix
sur ces espérances?
ou celui-ci le salarié
promettait-il ces choses à vous?
Mais dis encore la lettre
que Philippe a envoyée ici
après ces choses.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

« Φίλιππος βασιλεὺς Μακεδόνων τῇ βουλῇ καὶ τῷ δήμῳ Ἀθηναίων χαίρειν[26].
« Ἴστε ἡμᾶς παρεληλυθότας
εἴσω Πυλῶν,
καὶ πεποιημένους ὑπὸ ἑαυτοὺς
τὰ κατὰ τὴν Φωκίδα,
καὶ εἰςαγηοχότας μὲν φρουρὰς
εἰς ὅσα τῶν πολισμάτων
προςετίθετο
ἑκουσίως·
κατεσκάψαμεν δὲ
τὰ μὴ ὑπακούοντα,
λαβόντες κατὰ κράτος
καὶ ἐξανδραποδισάμενοι.
Ἀκούων δὲ ὑμᾶς παρασκευάζεσθαι
βοηθεῖν αὐτοῖς, γέγραφα ὑμῖν,
ἵνα μὴ ἐνοχλῆσθε
περὶ τούτων ἐπὶ πλεῖον.
Τοῖς μὲν γὰρ ὅλοις δοκεῖτέ μοι
ποιεῖν οὐδὲν μέτριον,
συνθέμενοι τὴν εἰρήνην,
καὶ ὁμοίως
ἀντιπαρεξάγοντες,
καὶ ταῦτα, τῶν Φωκέων
οὐδὲ συμπεριειλημμένων
ἐν ταῖς συνθήκαις
κοιναῖς ἡμῶν.

LETTRE DE PHILIPPE.

« Philippe, roi des Macédoniens, au sénat et au peuple des Athéniens, salut.
« Sachez nous étant-passés
en-dedans des Thermopyles,
et ayant-mis sous nous-mêmes
les *places* dans la Phocide,
et ayant-introduit des garnisons
dans toutes-celles des villes *qui*
se-sont-rangées-vers *nous*
volontairement;
mais nous avons rasé
celles n'obéissant pas,
les ayant-prises par force
et *les* ayant-asservies.
Mais apprenant vous vous préparer
à secourir eux, j'ai écrit à vous,
afin-que vous ne soyez pas troublés
sur ces choses pour davantage.
Car en somme vous paraissez à moi
faire rien de mesuré,
ayant-établi-avec *moi* la paix,
et néanmoins
menant-contre *moi vos troupes*,
et cela, les Phocéens
n'ayant-pas été-compris
dans les conventions
communes de nous.

Ὥςτε, ἐὰν μὴ ἐμμένητε τοῖς ὡμολογημένοις, οὐδὲν προτερήσετε ἔξω τοῦ ἐφθακέναι ἀδικοῦντες.»

Ἀκούετε ὡς σαφῶς δηλοῖ καὶ διορίζεται ἐν τῇ πρὸς ὑμᾶς ἐπιστολῇ, πρὸς τοὺς ἑαυτοῦ συμμάχους, ὅτι, Ταῦτα ἐγὼ πεποίηκα ἀκόντων Ἀθηναίων καὶ λυπουμένων· ὥςτ' εἴπερ εὖ φρονεῖτε, ὦ Θηβαῖοι καὶ Θετταλοί, τούτους μὲν ἐχθροὺς ὑπολήψεσθε, ἐμοὶ δὲ πιστεύσετε· οὐ τούτοις τοῖς ῥήμασι γράψας, ταῦτα δὲ βουλομενος δεικνύναι. Τοιγαροῦν ἐκ τούτων ᾤχετο ἐκείνους λαβών, εἰς τὸ μηδοτιοῦν τῶν μετὰ ταῦτα προορᾶν, μηδ' αἰσθάνεσθαι, ἀλλ' ἐᾶσαι πάντα τὰ πράγματα ἐκεῖνον ὑφ' ἑαυτῷ ποιήσασθαι. Ἐξ ὧν ταῖς παρούσαις συμφοραῖς οἱ ταλαίπωροι Θηβαῖοι κέχρηνται. Ὁ δὲ ταύτης τῆς πίστεως αὐτῷ συνεργὸς καὶ συναγωνιστής, καὶ ὁ δεῦρ' ἀπαγγείλας τὰ ψευδῆ, καὶ φενακίσας ὑμᾶς, οὗτός ἐστιν ὁ τὰ Θηβαίων νῦν ὀδυρόμενος πάθη, καὶ διεξιὼν ὡς

compris dans nos traités. Au reste, si vous ne gardez pas la paix, vous ne gagnerez rien autre chose que le titre d'injustes agresseurs.»

Vous entendez comme il parle, comme il s'exprime clairement dans la lettre qu'il vous adresse, à vous ses alliés : tout ce que j'ai fait, je l'ai fait contre le vœu et en dépit des Athéniens; ainsi, Thébains et Thessaliens, si vous êtes sages, vous les regarderez comme vos ennemis, vous vous abandonnerez à moi. Voilà ce que dit sa lettre, ou du moins voilà ce qu'elle veut dire. Par cette politique, il sut si bien aveugler, endormir ces deux peuples, que, sans nulle prévoyance, sans nul pressentiment de l'avenir, ils le laissaient s'agrandir librement de toutes parts. De là viennent les calamités qui pèsent sur les malheureux Thébains. Celui qui a secondé Philippe pour les jeter dans une confiance aveugle, celui qui vous a trompés par de faux rapports et par de vaines promesses, c'est celui-là même qui déplore aujourd'hui les maux des Thébains, qui en fait un récit lamentable, lui qui est la

Ὥςτε, ἐὰν μὴ ἐμμένητε
τοῖς ὡμολογημένοις,
προτερήσετε οὐδὲν
ἔξω τοῦ ἐφθακέναι.
ἀδικοῦντες.»
Ἀκούετε ὡς δηλοῖ
καὶ διορίζεται σαφῶς
ἐν τῇ ἐπιστολῇ πρὸς ὑμᾶς,
πρὸς τοὺς συμμάχους ἑαυτοῦ,
ὅτι, Ἐγὼ πεποίηκα ταῦτα
Ἀθηναίων ἀκόντων
καὶ λυπουμένων·
ὥςτε εἴπερ φρονεῖτε εὖ,
ὦ Θηβαῖοι καὶ Θετταλοί,
ὑπολήψεσθε μὲν τούτους ἐχθρούς,
πιστεύσετε δὲ ἐμοί·
οὐ γράψας τούτοις τοῖς ῥήμασι,
βουλόμενος δὲ δεικνύναι ταῦτα.
Τοιγαροῦν ἐκ τούτων
ᾤχετο λαβὼν ἐκείνους,
εἰς τὸ προορᾶν
μηδὲ αἰσθάνεσθαι μηδοτιοῦν
τῶν μετὰ ταῦτα
ἀλλὰ ἐᾶσαι ἐκεῖνο,
ποιήσασθαι ὑπὸ ἑαυτῷ
πάντα τὰ πράγματα.
Ἐξ ὧν
οἱ ταλαίπωροι Θηβαῖοι
κέχρηνται
ταῖς συμφοραῖς παρούσαις.
Ὁ δὲ συνεργὸς
καὶ συναγωνιστὴς αὐτῷ
ταύτης τῆς πίστεως,
καὶ ὁ ἀπαγγείλας δεῦρο
τὰ ψευδῆ,
καὶ φενακίσας ὑμᾶς,
οὗτός ἐστιν ὁ ὀδυρόμενος νῦν
τὰ πάθη Θηβαίων,
καὶ διεξιὼν
ὡς οἰκτρά,

En-sorte-que, si vous ne restez-dans
les choses-ayant-été-consenties,
vous n'obtiendrez rien
hors le avoir-prévenu
faisant-injustice.»
Vous entendez comme il montre
et détermine clairement
dans la lettre à vous,
aux alliés-de lui-même,
que, Moi j'ai fait ces choses
les Athéniens ne voulant pas
et étant-affligés;
en-sorte-que, si vous pensez bien
ô Thébains et Thessaliens,
vous croirez ceux-ci ennemis,
mais vous aurez-confiance *en* moi,
n'ayant pas écrit *en* ces mots,
mais voulant signifier ces choses.
En conséquence, d'après ces choses
il alla ayant-pris ceux-ci,
au-point de *ne* prévoir
ni s'apercevoir de rien-que-ce-fût
des choses après celles-là,
mais de laisser celui-ci
mettre sous lui-même
toutes les affaires.
Par-suite desquelles choses
es malheureux Thébains
se-sont-servis
des calamités présentes.
Or l'aide
et auxiliaire *pour* lui
de cette confiance,
et celui ayant-annoncé ici
es mensonges
et ayant-trompé vous,
celui-ci est celui déplorant maintenant
les souffrances des Thébains,
et parcourant
combien *elles sont* pitoyables,

οἰκτρά, καὶ τούτων, καὶ τῶν ἐν Φωκεῦσι κακῶν, καὶ ὅσ' ἄλλα πεπόνθασιν οἱ Ἕλληνες, ἁπάντων αὐτὸς ὢν αἴτιος. Δῆλον γὰρ ὅτι σὺ μὲν ἀλγεῖς ἐπὶ τοῖς συμβεβηκόσιν, Αἰσχίνη, καὶ τοὺς Θηβαίους ἐλεεῖς, κτήματα ἔχων ἐν τῇ Βοιωτίᾳ καὶ γεωργῶν τὰ ἐκείνων· ἐγὼ δὲ χαίρω, ὃς εὐθὺς ἐξητούμην ὑπὸ τοῦ ταῦτα πράξαντος.

Ἀλλὰ γὰρ ἐμπέπτωκα εἰς λόγους οὓς αὐτίκα μάλα ἴσως ἁρμόσει λέγειν· ἐπάνειμι δὴ πάλιν ἐπὶ τὰς ἀποδείξεις, ὡς τὰ τούτων ἀδικήματα τῶν νυνὶ παρόντων πραγμάτων γέγονεν αἴτια.

Ἐπειδὴ γὰρ ἐξηπάτησθε μὲν ὑμεῖς ὑπὸ τοῦ Φιλίππου, διὰ τούτων, τῶν ἐν ταῖς πρεσβείαις μισθωσάντων ἑαυτοὺς καὶ οὐδὲν ἀληθὲς ὑμῖν ἀπαγγειλάντων, ἐξηπάτηντο δὲ οἱ ταλαίπωροι Φωκεῖς, καὶ ἀνῄρηντο αἱ πόλεις αὐτῶν, τί ἐγένετο; Οἱ μὲν κατάπτυστοι Θετταλοί, καὶ ἀναίσθητοι Θηβαῖοι, φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο· πάντ' ἐκεῖνος ἦν αὐτοῖς,

cause de leurs maux, de ceux des Phocéens, et généralement de tous les malheurs de la Grèce. Oui, sans doute, Eschine, ces malheurs vous touchent, l'infortune des Thébains vous afflige, vous qui avez des possessions dans la Béotie, qui labourez les champs dont ils sont dépouillés; et je m'en réjouis, moi dont la tête fut demandée aussitôt après par l'auteur de ces désastres.

Mais je suis tombé sur des discours qu'il convient mieux de renvoyer à un autre temps; je reviens donc à prouver que la corruption et la perfidie de mes adversaires sont la cause des calamités présentes.

Lorsque Philippe vous eut trompés, grâce à ces députés perfides qui, en Macédoine, s'étaient vendus à lui, et qui ne vous annonçaient ici que des mensonges; lorsque les Phocéens eurent été séduits, et leurs villes ruinées, qu'arriva-t-il? Les méprisables Thessaliens et les stupides Thébains voyaient dans Philippe leur ami, leur bienfaiteur, leur libérateur; il était tout pour eux; ils ne voulaient rien entendre quand

ὢν αὐτὸς αἴτιος καὶ τούτων κακῶν,
καὶ τῶν ἐν Φωκεῦσι,
καὶ ἁπάντων, ὅσα
οἱ Ἕλληνες πεπόνθασιν ἄλλα.
Δῆλον γὰρ ὅτι σὺ μὲν ἀλγεῖς
ἐπὶ τοῖς συμβεβηκόσιν,
Αἰσχίνη,
καὶ ἐλεεῖς τοὺς Θηβαίους,
ἔχων κτήματα ἐν τῇ Βοιωτίᾳ
καὶ γεωργῶν τὰ ἐκείνων·
ἐγὼ δὲ χαίρω,
ὃς ἐξητούμην εὐθὺς[27]
ὑπὸ τοῦ πράξαντος ταῦτα.
Ἀλλὰ γὰρ ἐμπέπτωκα
εἰς λόγους
οὓς ἴσως ἁρμόσει μᾶλλον
λέγειν αὐτίκα·
ἐπάνειμι δὴ πάλιν
ἐπὶ τὰς ἀποδείξεις,
ὡς τὰ ἀδικήματα τούτων
γέγονεν αἴτια
τῶν πραγμάτων παρόντων νυνί.
Ἐπειδὴ γὰρ
ὑμεῖς μὲν ἐξηπάτησθε
ὑπὸ τοῦ Φιλίππου, διὰ τούτων,
τῶν μισθωσάντων ἑαυτοὺς
ἐν ταῖς πρεσβείαις,
καὶ ἀπαγγειλάντων ὑμῖν
οὐδὲν ἀληθές,
οἱ δὲ ταλαίπωροι Φωκεῖς
ἐξηπάτηντο,
καὶ αἱ πόλεις αὐτῶν
ἀνῄρηντο,
τί ἐγένετο;
Οἱ μὲν Θετταλοὶ
κατάπτυστοι[28]
καὶ Θηβαῖοι ἀναίσθητοι
ἡγοῦντο τὸν Φίλιππον
φίλον, εὐεργέτην, σωτῆρα·
ἐκεῖνος ἦν πάντα αὐτοῖς,

étant lui-même cause et de ces maux,
et de ceux chez les Phocéens,
et de tous, aussi-nombreux-que
les Grecs *en* ont souffert d'autres.
Car *il est* évident que toi tu es-afflig
au-sujet des choses étant-arrivées,
Eschine,
et t'apitoies *sur* les Thébains,
ayant des possessions dans la Béotie
et labourant les *champs* de ceux-ci;
mais moi je-me-réjouis,
moi qui fus-réclamé aussitôt
par celui ayant-fait ces choses.
Mais certes je suis-tombé
sur des discours
que peut-être il conviendra mieux
de dire tout-à-l'heure;
je reviens donc de-nouveau
sur les démonstrations,
que les illégalités de ceux-ci
ont-été causes
des affaires présentes maintenant.
Car après-que
vous eûtes-été-trompés
par Philippe, au-moyen-de ceux-ci,
ceux ayant-mis-à-gages eux-mêmes
dans les ambassades,
et ayant-annoncé à vous
rien de vrai,
et *que* les infortunés Phocéens,
eurent-été-trompés,
et *que* les villes d'eux
eurent-été-détruites,
qu'arriva-t-il?
Les Thessaliens
dignes-d'être-conspués
et les Thébains stupides
jugeaient Philippe
ami, bienfaiteur, sauveur;
celui-là était tout *pour* eux,

οὐδὲ φωνὴν ἤκουον, εἴ τις ἄλλο τι βούλοιτο λέγειν. Ὑμεῖς δέ, ὑφορώμενοι τὰ πεπραγμένα καὶ δυσχεραίνοντες, ἤγετε τὴν εἰρήνην ὅμως· οὐ γὰρ ἦν ὅ τι ἂν ἐποιεῖτε μόνοι· καὶ οἱ ἄλλοι δὲ Ἕλληνες, ὁμοίως ὑμῖν πεφενακισμένοι, καὶ διημαρτηκότες ὧν ἤλπισαν, ἦγον τὴν εἰρήνην ἄσμενοι, καὶ αὐτοὶ τρόπον τινὰ ἐκ πολλοῦ πολεμούμενοι. Ὅτε γὰρ περιιὼν ὁ Φίλιππος Ἰλλυριοὺς καὶ Τριβαλλούς, τινὰς δὲ καὶ τῶν Ἑλλήνων κατεστρέφετο, καὶ δυνάμεις πολλὰς καὶ μεγάλας ἐποιεῖθ' ὑφ' ἑαυτῷ, καί τινες τῶν ἐκ τῶν πόλεων ἐπὶ τῇ τῆς εἰρήνης ἐξουσίᾳ βαδίζοντες ἐκεῖσε διεφθείροντο, ὧν εἷς οὗτος ἦν, τότε δή, τότε πάντες ἐφ' οὓς ταῦτα παρεσκευάζετο ἐκεῖνος, ἐπολεμοῦντο. Εἰ δὲ μὴ ᾐσθάνοντο, ἕτερος λόγος οὗτος, οὐ πρὸς ἐμέ· ἐγὼ μὲν γὰρ προὔλεγον, καὶ διεμαρτυρόμην, καὶ παρ' ὑμῖν ἀεί, καὶ ὅποι πεμφθείην.

on leur parlait contre Philippe. Vous, Athéniens, quoique mécontents et remplis de défiance, vous observiez néanmoins la paix : et que pouviez-vous faire étant seuls? Les autres Grecs, abusés comme vous et trompés dans leurs espérances, l'observaient sans aucune peine, quoique Philippe depuis longtemps leur fît réellement la guerre. En effet, subjuguer, dans ses courses, les Illyriens, les Triballes, et même quelques-uns des Grecs, renforcer de tous côtés sa puissance, gagner par argent certains ministres qui voyageaient chez lui à la faveur de la paix, du nombre desquels était Eschine, n'était-ce pas faire la guerre aux peuples contre lesquels il prenait ces dispositions? S'ils ne s'en aperçurent point, c'est autre chose; ce n'est pas à moi qu'on doit s'en prendre, à moi qui prédisais et protestais chez vous sans cesse, et partout où j'étais envoyé. Mais la contagion avait gagné toutes nos

οὐδὲ ἤκουον φωνήν,	et ils n'entendaient pas la voix,
εἴ τις βούλοιτο	si quelqu'un voulait
λέγειν τι ἄλλο.	dire quelque autre chose.
Ὑμεῖς δέ, ὑφορώμενοι	Mais vous, suspectant
τὰ πεπραγμένα	les choses ayant-été-faites
καὶ δυσχεραίνοντες,	et *les* supportant-avec-peine,
ἤγετε τὴν εἰρήνην ὅμως·	vous gardiez la paix cependant;
οὐ γὰρ ἦν τι	car il n'était pas quelque chose
ὅ ἂν ἐποιεῖτε μόνοι·	que vous pussiez-faire seuls;
καὶ οἱ ἄλλοι δὲ Ἕλληνες,	et les autres Grecs,
πεφενακισμένοι	ayant-été-trompés
ὁμοίως ὑμῖν,	semblablement à vous,
καὶ διημαρτηκότες	et ayant-manqué
ὧν ἤλπισαν,	les choses qu'ils espéraient,
ἦγον τὴν εἰρήνην ἄσμενοι,	gardaient la paix contents,
καὶ αὐτοὶ πολεμούμενοι	quoique eux-mêmes étant-attaqués
τινὰ τρόπον ἐκ πολλοῦ.	*en* quelque façon depuis long*temps.*
Ὅτε γὰρ ὁ Φίλιππος περιιὼν	Car lorsque Philippe parcourant
κατεστρέφετο Ἰλλυριοὺς	subjuguait les Illyriens
καὶ Τριβαλλούς,	et les Triballes,
τινὰς δὲ καὶ τῶν Ἑλλήνων [29],	et quelques-uns aussi des Grecs,
καὶ ἐποιεῖτο ὑπὸ ἑαυτῷ	et mettait sous lui-même
δυνάμεις πολλὰς καὶ μεγάλας,	des forces nombreuses et grandes,
καί τινες	et *que* quelques-uns
τῶν ἐκ τῶν πόλεων,	de ceux des villes,
ὧν οὗτος ἦν εἷς,	dont celui-ci était un,
βαδίζοντες ἐκεῖσε	allant là
ἐπὶ τῇ ἐξουσίᾳ τῆς εἰρήνης,	par la faculté de la paix,
διεφθείροντο,	étaient-corrompus,
τότε δή, τότε	alors certes, alors
πάντες ἐπὶ οὓς ἐκεῖνος	tous *ceux* contre lesquels celui-là
παρεσκευάζετο ταῦτα	disposait ces choses
ἐπολεμοῦντο.	étaient-attaqués.
Εἰ δὲ μὴ ᾐσθάνοντο,	Mais s'ils ne s'*en*-apercevaient pas,
οὗτος λόγος ἕτερος,	cette raison *est* autre,
οὐ πρὸς ἐμέ·	non concernant moi;
ἐγὼ μὲν γὰρ προὔλεγον,	car moi je disais-d'avance,
καὶ διεμαρτυρόμην,	et protestais-contre,
καὶ παρὰ ὑμῖν ἀεί,	et près de vous toujours,
καὶ ὅποι πεμφθείην [30].	et partout-où j'étais-envoyé.

Αἱ δὲ πόλεις ἐνόσουν, τῶν μὲν ἐν τῷ πολιτεύεσθαι καὶ πράττειν δωροδοκούντων καὶ διαφθειρομένων ἐπὶ χρήμασι, τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν τὰ μὲν οὐ προορωμένων, τὰ δὲ τῇ καθ' ἡμέραν ῥᾳστώνῃ καὶ σχολῇ δελεαζομένων, καὶ τοιοῦτόν τι πάθος πεπονθότων ἁπάντων, πλὴν οὐκ ἐφ' ἑαυτοὺς ἑκάστων οἰομένων τὸ δεινὸν ἥξειν, ἀλλὰ διὰ τῶν ἑτέρων κινδύνων τὰ ἑαυτῶν ἀσφαλῶς σχήσειν ~~ὑπολαμβανόντων~~, ὅταν βούλωνται. Εἶτ', οἶμαι, συμβέβηκε τοῖς μὲν πλήθεσιν, ἀντὶ τῆς πολλῆς καὶ ἀκαίρου ῥαθυμίας, τὴν ἐλευθερίαν ἀπολωλεκέναι, τοῖς δὲ προεστηκόσι, καὶ τἆλλα, πλὴν ἑαυτούς, οἰομένοις πωλεῖν, πρώτους ἑαυτοὺς πεπρακόσιν ᾐσθῆσθαι· ἀντὶ γὰρ φίλων καὶ ξένων, ἃ τότε ὠνομάζοντο ἡνίκα ἐδωροδόκουν, νῦν κόλακες, καὶ θεοῖς ἐχθροί, καὶ τἆλλα, ἃ προσήκει, πάντα ἀκούουσιν. Εἰκότως· οὐδεὶς γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τὸ τοῦ προδιδόντος συμφέρον ζητῶν, χρήματ'

villes : les magistrats et les ministres se laissaient corrompre par des présents ; les particuliers et le peuple, ou ne prévoyaient rien, ou se livraient aux fausses douceurs d'un repos actuel. Telle était d'ailleurs, la disposition de tous les Grecs, que chacun d'eux, ne pouvant s'imaginer que l'orage arriverait jusqu'à lui, se flattait de pouvoir échapper quand il le voudrait, tandis que les autres seraient en péril. De là, je pense, on a vu d'un côté les peuples trouver la servitude dans une oisive et funeste sécurité ; de l'autre, ceux qui les gouvernaient, et qui croyaient avoir tout vendu, excepté eux-mêmes, sentir bientôt qu'ils s'étaient vendus eux-mêmes les premiers. Au lieu des noms d'hôtes et d'amis qu'ils recevaient avec l'or de Philippe, on leur donne à présent les noms de flatteurs, d'ennemis des dieux, et autres qui leur conviennent. Car, Athéniens, ce n'est pas pour l'intérêt du traître qu'on dé-

Αἱ δὲ πόλεις ἐνόσουν	Mais les villes étaient-malades,
τῶν μὲν ἐν τῷ πολιτεύεσθαι	ceux dans le administrer
καὶ πράττειν	et gérer
δωροδοκούντων	recevant-des-présents,
καὶ διαφθειρομένων	et étant-corrompus
ἐπὶ χρήμασι,	pour des sommes-d'argent,
τῶν δὲ ἰδιωτῶν καὶ πολλῶν	et les particuliers et la multitude
τὰ μὲν οὐ προορωμένων,	d'un côté ne prévoyant pas,
τὰ δὲ δελεαζομένων	et de l'autre étant-amorcés
τῇ ῥᾳστώνῃ	par l'indolence
καὶ σχολῇ κατὰ ἡμέραν,	et l'oisiveté *jour* par jour,
καὶ ἁπάντων πεπονθότων	et tous éprouvant
τὶ πάθος τοιοῦτον,	quelque affection telle,
οἰομένων ἑκάστων	pensant chacun
τὸ δεινὸν ἥξειν	le danger devoir-venir
πλὴν οὐκ ἐπὶ ἑαυτούς,	excepté non contre eux-mêmes,
ἀλλὰ ὑπολαμβανόντων	mais croyant
τὰ ἑαυτῶν	les choses d'eux-mêmes
σχήσειν ἀσφαλῶς	devoir-être sûrement
διὰ κινδύνων τῶν ἑτέρων,	au-moyen des dangers des autres,
ὅταν βούλωνται.	quand ils voudraient.
Εἶτα, οἶμαι,	Ainsi, je crois,
συμβέβηκε τοῖς μὲν πλήθεσιν,	il arriva aux multitudes,
ἀντὶ τῆς ῥαθυμίας	pour-prix de la nonchalance
πολλῆς καὶ ἀκαίρου,	grande et intempestive,
ἀπολωλεκέναι τὴν ἐλευθερίαν,	d'avoir-perdu la liberté,
τοῖς δὲ προεστηκόσι,	et à ceux se-tenant-à-la-tête,
καὶ οἰομένοις πωλεῖν	et pensant vendre
τὰ ἄλλα, πλὴν ἑαυτούς,	les autres choses, excepté eux-mêmes,
ᾐσθῆσθαι πεπρακόσιν	de s'apercevoir ayant-vendu
ἑαυτοὺς πρώτους·	eux-mêmes *les* premiers ;
ἀντὶ γὰρ φίλων καὶ ξένων,	car au-lieu d'amis et d'hôtes,
ἃ ὠνομάζοντο τότε	*noms* dont ils étaient-appelés alors
ἡνίκα ἐδωροδόκουν,	quand ils recevaient-des-présents,
νῦν ἀκούουσι κόλακες,	maintenant ils entendent flatteurs,
καὶ ἐχθροὶ θεοῖς,	et ennemis des dieux,
καὶ πάντα τὰ ἄλλα	et tous les autres *noms*
ἃ προσήκει.	qui *leur* conviennent.
Εἰκότως· οὐδεὶς γάρ,	Avec-raison ; car personne,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,

ἀναλίσκει· οὐδ' ἐπειδάν, ὧν ἂν πρίηται, κύριος γένηται, τῷ προδότῃ συμβούλῳ περὶ τῶν λοιπῶν ἔτι χρῆται· οὐδὲν γὰρ ἂν ἦν εὐδαιμονέστερον προδότου. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· πόθεν; πολλοῦ γε καὶ δεῖ. Ἀλλ' ἐπειδὰν τῶν πραγμάτων ἐγκρατὴς ὁ ζητῶν ἄρχειν καταστῇ, καὶ τῶν ταῦτα ἀποδεδομένων δεσπότης ἐστί, τὴν δὲ πονηρίαν εἰδώς, τότε δή, τότε καὶ μισεῖ, καὶ ἀπιστεῖ, καὶ προπηλακίζει. Σκοπεῖτε δέ· καὶ γάρ, εἰ παρελήλυθεν ὁ τῶν πραγμάτων καιρός, ὁ τοῦ γε εἰδέναι τὰ τοιαῦτα καιρὸς ἀεὶ πάρεστι τοῖς εὖ φρονοῦσι. Μέχρι τούτου Λασθένης φίλος ὠνομάζετο Φιλίππου ἕως προὔδωκεν Ὄλυνθον· μέχρι τούτου Τιμόλαος ἕως ἀπώλεσε Θήβας· μέχρι τούτου Εὔδικος καὶ Σῖμος, οἱ Λαρισσαῖοι, ἕως Θετταλίαν ὑπὸ Φιλίππῳ ἐποίη-

pense son argent, et l'on n'a garde de le consulter, dès qu'on se voit maître de ce qu'il a vendu : autrement, quel sort plus heureux que celui d'un traître? Mais non, il n'en est pas ainsi, il s'en faut bien; et pourquoi? En devenant maître des villes, l'usurpateur le devient aussi de ceux qui lui en ont ouvert les portes; et c'est alors, oui, c'est alors qu'il les déteste, les méprise et leur refuse toute confiance, parce qu'il connaît leur scélératesse. Voici des faits qui le démontrent. Quoique es événements soient passés, ils doivent être toujours présents aux yeux des hommes sages. On appelait amis de Philippe Lasthène, jusqu'à ce qu'il eût livré Olynthe; Timolaüs, jusqu'à ce qu'il eût perdu Thèbes; Eudique et Simos, tous deux de Larisse, jusqu'à ce qu'ils eussent trahi les Thessaliens. Mais bientôt toute la terre a été pleire

ἀναλίσκει χρήματα,	*ne* dépense des sommes-d'argent,
ζητῶν τὸ συμφέρον	cherchant l'intérêt
τοῦ προδιδόντος·	de celui trahissant;
οὐδὲ ἐπειδὰν γένηται	ni après qu'il est-devenu
κύριος ὧν ἂν πρίηται,	maître des choses qu'il achète
χρῆται ἔτι τῷ προδότῃ	*ne* se sert encore du traître
συμβούλῳ	*pour* conseiller
περὶ τῶν λοιπῶν·	sur les choses restant;
οὐδὲν γὰρ ἂν ἦν	car rien *ne* serait
εὐδαιμονέστερον προδότου.	plus-heureux qu'un traître.
Ἀλλὰ ταῦτα οὐκ ἔστιν,	Mais ces choses ne sont pas,
οὐκ ἔστι· πόθεν;	elles ne sont pas; comment?
δεῖ γε καὶ	certes il *s'en* faut encore
πολλοῦ.	de beaucoup.
Ἀλλὰ ἐπειδὰν ὁ ζητῶν	Mais après-que celui cherchant
ἄρχειν	à commander
καταστῇ ἐγκρατὴς	s'est établi maître
τῶν πραγμάτων,	des affaires,
ἐστὶ καὶ δεσπότης	il est aussi maître
τῶν ἀποδεδομένων ταῦτα,	de ceux ayant-livré celles-ci,
εἰδὼς δὲ τὴν πονηρίαν,	et ayant-vu la méchanceté *d'eux*,
τότε δή, τότε	alors certes, alors
καὶ μισεῖ, καὶ ἀπιστεῖ,	et il *les* hait, et il *s'en* défie,
καὶ προπηλακίζει.	et *les* couvre-de-boue.
Σκοπεῖτε δέ· καὶ γάρ,	Or examinez; et en effet,
εἰ ὁ καιρὸς τῶν πραγμάτων	si la circonstance des faits
παρελήλυθεν,	est passée,
ὅ γε καιρὸς	la circonstance du-moins
τοῦ εἰδέναι τὰ τοιαῦτα	du connaître les choses telles
πάρεστιν ἀεὶ	est-présente toujours
τοῖς φρονοῦσιν εὖ.	à ceux pensant bien.
Λασθένης ὠνομάζετο	Lasthène était-nommé
φίλος Φιλίππου μέχρι τούτου ἕως	ami de Philippe jusqu'à ce que
προὔδωκεν Ὄλυνθον·	il eut livré Olynthe;
Τιμόλαος μέχρι τούτου ἕως	Timolaüs jusqu'à ce que
ἀπώλεσε Θήβας·	il eut perdu Thèbes;
Εὔδικος καὶ Σῖμος, οἱ Λαρισσαῖοι,	Eudique et Simos, les Larisséens,
μέχρι τούτου ἕως	jusqu'à ce que
ἐποίησαν ὑπὸ Φιλίππῳ	ils eurent mis sous Philippe
Θετταλίαν·	la Thessalie;

σαν· εἶτ' ἐλαυνομένων, καὶ ὑβριζομένων, καὶ τί κακὸν οὐχὶ πασχόντων, πᾶσα ἡ οἰκουμενη μεστὴ γέγονε προδοτῶν. Τί δ' Ἀρίστρατος ἐν Σικυῶνι; καὶ τί Περίλαος ἐν Μεγάροις; οὐκ ἀπερρίμμένοι; Ἐξ ὧν καὶ σαφέστατ' ἄν τις ἴδοι ὅτι ὁ μάλιστα φυλάττων τὴν ἑαυτοῦ πατρίδα, καὶ πλεῖστα ἀντιλέγων τούτοις, οὗτος ὑμῖν, Αἰσχίνη, τοῖς προδιδοῦσι καὶ μισθαρνοῦσι, τὸ ἔχειν ἐφ ὅτῳ δωροδοκήσετε περιποιεῖ· καὶ διὰ τοὺς πολλοὺς τούτους, καὶ τοὺς ἀνθισταμένους τοῖς ὑμετέροις βουλήμασιν, ὑμεῖς ἐστὲ σῷοι καὶ ἔμμισθοι, ἐπεί, διά γε ὑμᾶς αὐτούς, πάλαι ἂν ἀπολώλειτε.

Καὶ περὶ μὲν τῶν τότε πραχθέντων ἔχων ἔτι πολλὰ λέγειν, καὶ ταῦτα ἡγοῦμαι πλείω τῶν ἱκανῶν εἰρῆσθαι. Αἴτιος δὲ οὗτος, ὥςπερ ἑωλοκρασίαν τινά μου τῆς πονηρίας τῆς ἑαυτοῦ καὶ τῶν ἀδικημάτων κατασκεδάσας· ἣν ἀναγκαῖον ἦν πρὸς τοὺς νεωτέρους τῶν πεπραγμένων ἀπολύσασθαι. Παρηνώχλησθε δὲ καὶ

de traîtres chassés de leurs villes et accablés d'outrages ; et que n'ont-ils pas eu à souffrir ? Que sont devenus Aristrate à Sicyone, Périlaüs à Mégare ? N'y traînent-ils pas leur vie dans l'opprobre ? Il n'en faudrait pas davantage pour se convaincre que le citoyen qui défend sa patrie avec le plus de zèle, qui s'oppose avec le plus d'ardeur à ces hommes perdus ce citoyen, Eschine, vous procure à vous-mêmes, traîtres et mercenaires, les moyens de continuer vos criminels trafics ; et c'est, je le puis dire, c'est parce qu'il est un certain nombre de ces amis de l'État qui combattent sans cesse vos projets, que vous subsistez encore, et qu'on vous paye : car s'il n'eût tenu qu'à vous, vous auriez péri depuis longtemps.

Je suis loin d'avoir épuisé tout ce qu'on pourrait dire sur les événements dont je parle ; mais je crois en avoir déjà trop dit. Au reste, il faut s'en prendre à celui qui a répandu sur moi la noirceur de sa perversité, l'odieux de ses injustices, et qui, par là, m'oblige à me laver auprès de nos jeunes citoyens qui sont nés depuis ces événements. Peut-être vous ai-je bien importunés, vous qui connaissiez sa

εἶτα, πᾶσα ἡ οἰκουμένη	ensuite toute la *terre* habitée
γέγονε μεστὴ	devint remplie
προδοτῶν ἐλαυνομένων,	de traîtres étant-chassés,
καὶ ὑβριζομένων,	et étant-outragés,
καὶ τί κακὸν οὐχὶ πασχόντων.	et quel mal ne souffrant pas.
Τί δὲ Ἀρίστρατος	Or quoi *n'a pas souffert* Aristrate
ἐν Σικυῶνι;	dans Sicyone?
καὶ τί Περίλαος ἐν Μεγάροις;	et quoi Périlaüs dans Mégare?
οὐκ ἀπερρίμμένοι;	ne *sont-ils* pas ayant-été-repoussés?
Ἐξ ὧν καὶ	Des quelles choses aussi
τὶς ἂν ἴδοι σαφέστατα	quelqu'un verrait très-clairement
ὅτι ὁ φυλάττων μάλιστα	que celui protégeant le-plus
τὴν πατρίδα ἑαυτοῦ,	la patrie de lui-même,
καὶ ἀντιλέγων τούτοις πλεῖστα,	et parlant-contre ceux-ci le-plus,
οὗτος περιποιεῖ ὑμῖν, Αἰσχίνη,	celui-ci procure à vous, Eschine,
τοῖς προδιδοῦσι καὶ μισθαρνοῦσι,	ceux trahissant et recevant-salaire,
τὸ ἔχειν ἐπὶ ὅτῳ	le avoir au-sujet de quoi
δωροδοκήσετε·	vous recevrez-des-présents;
καὶ ὑμεῖς ἐστὲ σῷοι καὶ ἔμμισθοι	et vous êtes saufs et salariés
διὰ τούτους τοὺς πολλούς,	au-moyen de ceux-ci les nombreux,
καὶ τοὺς ἀνθισταμένους	et ceux s'opposant
τοῖς βουλήμασιν ὑμετέροις,	aux projets vôtres,
ἐπεί, διά γε ὑμᾶς αὐτούς,	puisque, du-moins par vous-mêmes,
ἂν ἀπολώλειτε πάλαι.	vous auriez péri depuis-longtemps.
Καὶ ἔχων μὲν ἔτι	Et ayant encore
λέγειν πολλὰ	à dire des choses nombreuses
περὶ τῶν πραχθέντων τότε,	sur les *actions* ayant-été-faites alors
ἡγοῦμαι καὶ ταῦτα εἰρῆσθαι	je juge même celles-ci avoir-été-dites
πλείω τῶν ἱκανῶν.	plus-nombreuses *que* les suffisantes
Οὗτος δὲ αἴτιος,	Mais celui-ci *en est* cause,
ὥςπερ κατασκεδάσας μου	comme ayant-répandu-sur moi
τινὰ ἑωλοκρασίαν	quelque mélange-d'hier
τῆς πονηρίας τῆς ἑαυτοῦ	de la méchanceté celle de lui-même
καὶ τῶν ἀδικημάτων·	et des iniquités *de lui ;*
ἣν ἦν ἀναγκαῖον	duquel il était nécessaire
ἀπολύσασθαι	de me laver
πρὸς τοὺς νεωτέρους	devant ceux plus jeunes
τῶν πεπραγμένων.	*que* les choses ayant-été-faites.
Ἴσως δὲ	Mais peut-être
καὶ ὑμεῖς παρηνώχλησθε,	aussi vous avez-été-importunés,

ὑμεῖς ἴσως, οἱ, καὶ πρὶν ἐμὲ ὁτιοῦν εἰπεῖν, εἰδότες τὴν τούτου τότε μισθαρνίαν. Καίτοι φιλίαν τε καὶ ξενίαν αὐτὴν ὀνομάζει, καὶ νῦν εἴπέ που λέγων· Ὁ τὴν Ἀλεξάνδρου ξενίαν ὀνειδίζων ἐμοί. Ἐγώ σοι ξενίαν Ἀλεξάνδρου; πόθεν λαβόντι, ἢ πῶς ἀξιωθέντι; Οὔτε Φιλίππου ξένον, οὔτ' Ἀλεξάνδρου φίλον εἴποιμ' ἂν ἐγώ σε· οὐχ οὕτω μαίνομαι, εἰ μὴ καὶ τοὺς θεριστάς, καὶ τοὺς ἄλλο τι μισθοῦ πράττοντας, φίλους καὶ ξένους δεῖ καλεῖν τῶν μισθωσαμένων. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι· πόθεν; πολλοῦ γε καὶ δεῖ. Ἀλλὰ μισθωτὸν ἐγώ σε πρότερον Φιλίππου, καὶ νῦν Ἀλεξάνδρου καλῶ, καὶ οὗτοι πάντες. Εἰ δ' ἀπιστεῖς, ἐρώτησον αὐτούς. Μᾶλλον δ' ἐγὼ τοῦθ' ὑπὲρ σοῦ ποιήσω. Πότερον ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, μισθωτὸς Αἰσχίνης, ἢ ξένος εἶναι Ἀλεξάνδρου δοκεῖ;.... Ἀκούεις ἃ λέγουσι;

perfidie mercenaire, avant même que j'eusse dit un mot. Il la décore du nom d'amitié : *lui qui me reproche l'amitié d'Alexandre*, disait-il dans un endroit de son discours; ce sont ses propres termes. Moi, vous reprocher l'amitié d'Alexandre! D'où l'auriez-vous acquise? comment l'auriez-vous méritée? Non, je ne vous nommerai jamais l'ami ni de Philippe, ni d'Alexandre, je ne suis pas assez insensé; à moins qu'il ne faille nommer amis de ceux qui les payent les moissonneurs et autres mercenaires à gages. Mais il n'en est pas ainsi; non, il s'en faut bien : mercenaire aux gages de Philippe d'abord, et maintenant d'Alexandre, c'est le nom que je vous donne, que vous donne ce peuple. Si vous en doutez, demandez-le à lui-même, ou plutôt je vais le demander pour vous. Athéniens, pensez-vous qu'Eschine soit l'ami ou le mercenaire d'Alexandre?..... Entendez-vous ce qu'ils disent?

οἱ εἰδότες	ceux connaissant
τὴν μισθαρνίαν τούτου τότε,	la vénalité de celui-ci alors,
καὶ πρὶν ἐμὲ	même avant moi
εἰπεῖν ὁτιοῦν.	avoir-dit quoi-que-ce-fût.
Καίτοι ὀνομάζει αὐτὴν	Pourtant il nomme elle
φιλίαν τε καὶ ξενίαν[31],	et amitié et hospitalité,
καὶ νῦν εἴπέ που	et maintenant il a dit quelque-part
λέγων·	parlant :
Ὁ ὀνειδίζων ἐμοὶ	Celui reprochant à moi
τὴν ξενίαν Ἀλεξάνδρου.	l'hospitalité d'Alexandre.
Ἐγὼ ξενίαν Ἀλεξάνδρου σοί;	Moi l'hospitalité d'Alexandre à toi?
πόθεν λαβόντι,	d'où *l'*ayant-reçue,
ἢ πῶς	ou comment
ἀξιωθέντι;	*en* ayant-été-jugé-digne?
Ἐγὼ ἂν εἴποιμί σε	Moi je *ne* dirais toi
οὔτε ξένον Φιλίππου,	ni hôte de Philippe,
οὔτε φίλον Ἀλεξάνδρου·	ni ami d'Alexandre;
οὐ μαίνομαι οὕτως,	je ne suis-pas-insensé ainsi,
εἰ μὴ δεῖ καλεῖν	s'il ne faut pas appeler
καὶ τοὺς θεριστάς,	aussi les moissonneurs,
καὶ τοὺς πράττοντάς τι ἄλλο	et ceux faisant quelque autre chose
μισθοῦ,	*pour* un salaire,
φίλους καὶ ξένους	amis et hôtes
τῶν μισθωσαμένων.	de ceux ayant-salarié.
Ἀλλὰ ταῦτα οὐκ ἔστιν,	Mais ces choses ne sont pas,
οὐκ ἔστι· πόθεν;	elles ne sont pas; comment?
δεῖ γε καὶ	Certes il *s'en* faut encore
πολλοῦ.	de beaucoup.
Ἀλλὰ ἐγὼ καλῶ σε μισθωτὸν	Mais moi j'appelle toi salarié
πρότερον Φιλίππου,	précédemment de Philippe,
καὶ νῦν Ἀλεξάνδρου,	et maintenant d'Alexandre,
καὶ πάντες οὗτοι.	et tous ceux-ci.
Εἰ δὲ ἀπιστεῖς,	Mais si tu ne-crois-pas,
ἐρώτησον αὐτούς.	interroge eux.
Μᾶλλον δὲ	Mais plutôt
ἐγὼ ποιήσω τοῦτο ὑπὲρ σοῦ.	moi je ferai cela pour toi.
Πότερον, ὦ ἄνδρες Ἀθηναῖοι,	Lequel, ô hommes Athéniens,
Αἰσχίνης δοκεῖ ὑμῖν εἶναι,	Eschine paraît-il à vous être,
μισθωτὸς ἢ ξένος Ἀλεξάνδρου;	salarié ou hôte d'Alexandre?...
Ἀκούεις ἃ λέγουσι;	Entends-tu *les choses* qu'ils disent?

Βούλομαι τοίνυν ἤδη καὶ περὶ τῆς γραφῆς αὐτῆς ἀπολογήσασθαι, καὶ διεξελθεῖν τὰ πεπραγμένα ἐμαυτῷ· ἵνα, καίπερ εἰδώς, Αἰσχίνης ὅμως ἀκούσῃ δι' ἃ φημι καὶ τούτων τῶν προβεβουλευμένων, καὶ πολλῷ μειζόνων ἔτι τούτων δωρεῶν δίκαιος εἶναι τυγχάνειν.

Καί μοι λέγε τὴν γραφὴν ταύτην, λαβών.

ΓΡΑΦΗ.

« Ἐπὶ Χαιρώνδου ἄρχοντος, Ἐλαφηβολιῶνος ἕκτῃ ἱσταμένου, Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης ἀπήνεγκε πρὸς τὸν ἄρχοντα παρανόμων γραφὴν κατὰ Κτησιφῶντος τοῦ Λεωσθένους Ἀναφλυστίου, ὅτι ἔγραψε παράνομον ψήφισμα, ὡς ἄρα δεῖ στεφανῶσαι Δημοσθένην Δημοσθένους Παιανιέα χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ, Διονυσίοις τοῖς μεγάλοις, τραγῳδοῖς καινοῖς, ὅτι στεφανοῖ ὁ δῆμος Δημοσθένην Δημοσθένους

Je vais à présent me justifier sur le fond même de l'accusation, et entrer dans le détail des actions de ma vie, afin qu'Eschine, quoiqu'il ne l'ignore pas, entende néanmoins à quel titre je prétends mériter le décret porté en ma faveur, et de plus grandes récompenses encore.

Greffier, prenez l'acte d'accusation, et faites-en lecture.

ACTE D'ACCUSATION.

« Sous l'archonte Chéronide, le six du mois Élaphébolion, Eschine, fils d'Atromète, de Cothoce, a remis à l'archonte une accusation contre Ctésiphon, fils de Léosthène, d'Anaphlyste, pour avoir proposé un décret contraire aux lois, décret en vertu duquel on doit honorer Démosthène, fils de Démosthène, de Péanée, d'une couronne d'or, et faire publier sur le théâtre, aux fêtes de Bacchus, le jour des tragédies nouvelles, que le peuple d'Athènes honore Démosthène, fils de Démosthène,

Βούλομαι τοίνυν ἤδη
καὶ ἀπολογήσασθαι
περὶ τῆς γραφῆς αὐτῆς,
καὶ διεξελθεῖν
τὰ πεπραγμένα
ἐμαυτῷ·
ἵνα Αἰσχίνης, καίπερ εἰδώς,
ὅμως ἀκούσῃ
διὰ ἃ φημι
εἶναι δίκαιος τυγχάνειν
καὶ τούτων δωρεῶν
τῶν
προβεβουλευμένων,
καὶ πολλῷ μειζόνων ἔτι
τούτων.
Καὶ λέγε μοι
ταύτην τὴν γραφήν, λαβών.

Donc je veux à-l'instant
et me justifier
sur l'accusation même
et parcourir
les choses ayant-été-faites
par moi-même;
afin-que Eschine, quoique *les* sachant,
cependant entende
les choses pour lesquelles je dis
être digne d'obtenir
et ces récompenses
celles
ayant-été-préliminairement-décrétées,
et de beaucoup plus-grandes encore
que celles-ci.
Et dis-à-moi
cet acte-d'accusation, *l'*ayant pris

ΓΡΑΦΗ.

« Ἐπὶ Χαιρώνδου ἄρχοντος,
ἕκτῃ Ἐλαφηβολιῶνος
ἱσταμένου,
Αἰσχίνης Ἀτρομήτου Κοθωκίδης
ἀπήνεγκε πρὸς τὸν ἄρχοντα
γραφὴν παρανόμων
κατὰ Κτησιφῶντος
τοῦ Λεωσθένους Ἀναφλυστίου,
ὅτι ἔγραψε
ψήφισμα παράνομον,
ἄρα ὡς δεῖ στεφανῶσαι
Δημοσθένην Δημοσθένους
Παιανιέα
στεφάνῳ χρυσῷ,
καὶ ἀναγορεῦσαι ἐν τῷ θεάτρῳ,
τοῖς μεγάλοις Διονυσίοις,
τραγῳδοῖς καινοῖς,
ὅτι ὁ δῆμος στεφανοῖ
Δημοσθένην Δημοσθένους
Παιανιέα

ACTE D'ACCUSATION.

« Sous Chéronide archonte,
le sixième d'Élaphébolion
commençant,
Eschine *fils* d'Atromète de-Cothoce
a apporté à l'archonte
une accusation d'*actes* illégaux
contre Ctésiphon
fils de Léosthène d'Anaphlyste,
par-ce-qu'il a écrit
un décret illégal,
savoir que il faut couronner
Démosthène *fils* de Démosthène
de-Péanée
d'une couronne d'-or,
et proclamer dans le théâtre,
aux grandes Dionysiaques,
aux tragédiens nouveaux,
que le peuple couronne
Démosthène *fils* de Démosthène
de-Péanée

Παιανιέα χρυσῷ στεφάνῳ, ἀρετῆς ἕνεκα, καὶ εὐνοίας ἧς ἔχων διατελεῖ εἴς τε τοὺς Ἕλληνας ἅπαντας καὶ τὸν δῆμον τὸν Ἀθηναίων, καὶ ἀνδραγαθίας· καὶ διότι διατελεῖ πράττων καὶ λέγων τὰ βέλτιστα τῷ δήμῳ, καὶ πρόθυμός ἐστι ποιεῖν ὅ τι ἂν δύνηται ἀγαθόν· πάντα ταῦτα ψευδῆ γράψας καὶ παράνομα, τῶν νόμων οὐκ ἐώντων, πρῶτον μὲν ψευδεῖς γραφὰς εἰς τὰ δημόσια γράμματα καταβάλλεσθαι, εἶτα τὸν ὑπεύθυνον στεφανοῦν (ἔστι δὲ Δημοσθένης τειχοποιός, καὶ ἐπὶ τῷ θεωρικῷ τεταγμένος)· ἔτι δὲ μὴ ἀναγορεύειν τὸν στέφανον ἐν τῷ θεάτρῳ Διονυσίοις, τραγῳδῶν τῇ καινῇ· ἀλλ' ἐὰν μὲν ἡ βουλὴ στεφανοῖ, ἐν τῷ βουλευτηρίῳ ἀνειπεῖν· ἐὰν δὲ ἡ πόλις, ἐν Πνυκί, ἐν τῇ ἐκκλησίᾳ. Τίμημα, τάλαντα πεντήκοντα. Κλήτορες, Κηφισοφῶν Κηφισοφῶντος Ῥαμνούσιος, Κλέων Κλέωνος Κοθωκίδης. »

Ἃ μὲν διώκει τοῦ ψηφίσματος, ὦ ἄνδρες Ἀθηναῖοι, ταῦτ'

de Péanée, d'une couronne d'or, à cause de sa vertu, de son courage et de la bienveillance qu'il a toujours montrée envers les Grecs en général, et envers le peuple d'Athènes en particulier; et parce qu'il ne cesse de procurer, et par ses discours, et par ses actions, le plus grand bien du peuple, et qu'il est disposé à faire pour lui tout ce qui est en son pouvoir. Ce décret est entièrement faux et contraire aux lois, qui défendent d'abord d'insérer des faussetés dans les actes publics, ensuite de couronner un comptable. Or Démosthène était chargé de la réparation des murs et des dépenses du théâtre. Les lois défendent également de proclamer la couronne sur le théâtre, aux fêtes de Bacchus, le jour des tragédies nouvelles : elles ordonnent de faire les proclamations au sénat, quand c'est le sénat qui couronne; et dans le Pnyce, à l'assemblée du peuple, quand c'est le peuple qui couronne. Une amende de cinquante talens. Se sont réunis à Eschine, Céphisophon, fils de Céphisophon, de Rhamnuse, Cléon, fils de Cléon, de Cothoce. »

C'est là, Athéniens, ce qu'Eschine attaque dans le décret de Ctési-

στεφάνῳ χρυσῷ,	d'une couronne d'-or,
ἕνεκα ἀρετῆς, καὶ εὐνοίας	pour *sa* vertu, et la bienveillance —
ἧς διατελεῖ ἔχων	qu'il persévère ayant
εἴς τε ἅπαντας τοὺς Ἕλληνας	et envers tous les Grecs
καὶ τὸν δῆμον τὸν Ἀθηναίων,	et le peuple celui des Athéniens,
καὶ ἀνδραγαθίας·	et *sa* probité;
καὶ διότι διατελεῖ	et par-ce qu'il persévère
πράττων καὶ λέγων	faisant et disant
τὰ βέλτιστα	les meilleures choses
τῷ δήμῳ,	*pour* le peuple,
καί ἐστι πρόθυμος ποιεῖν	et *qu'*il est porté-de-cœur à faire
ὅ τι ἂν δύνηται ἀγαθόν·	ce qu'il peut de bon;
γράψας πάντα ταῦτα	ayant-écrit toutes ces choses
ψευδῆ καὶ παράνομα,	mensongères et illégales,
τῶν νόμων οὐκ ἐώντων,	les lois ne permettant pas
πρῶτον μὲν καταβάλλεσθαι	d'abord d'insérer
γραφὰς ψευδεῖς	des écrits mensongers
εἰς τὰ γράμματα δημόσια,	dans les actes publics,
εἶτα στεφανοῦν τὸν ὑπεύθυνον	ensuite de couronner le comptable
(Δημοσθένης δέ ἐστι	(or Démosthène est
τειχοποιός,	réparateur-des-murs,
καὶ τεταγμένος	et ayant-été-préposé
ἐπὶ τῷ θεωρικῷ [32])·	à l'administration-des-spectacles);
ἔτι δὲ	et encore
μὴ ἀναγορεύειν τὸν στέφανον	ne-pas proclamer la couronne
ἐν τῷ θεάτρῳ Διονυσίοις,	dans le théâtre aux Dionysiaques,
τῇ καινῇ τραγῳδῶν·	le nouveau *jour* des tragédiens;
ἀλλὰ ἐὰν μὲν ἡ βουλὴ στεφανοῖ,	mais si le sénat couronne,
ἀνειπεῖν ἐν τῷ βουλευτηρίῳ·	proclamer dans le sénat;
ἐὰν δὲ ἡ πόλις,	et si la ville,
ἐν Πνυκί, ἐν τῇ ἐκκλησίᾳ.	dans le Pnyce, dans l'assemblée.
Τίμημα, πεντήκοντα τάλαντα.	Amende, cinquante talents.
Κλήτορες [33]	Témoins-de-l'accusation
Κηφισοφῶν Κηφισοφῶντος	Céphisophon *fils* de Céphisophon
Ῥαμνούσιος,	de-Rhamnuse,
Κλέων Κλέωνος Κοθωκίδης.	Cléon *fils* de Cléon de-Cothoce.
Ἃ μὲν διώκει	*Les choses* qu'il poursuit
τοῦ ψηφίσματος,	du décret,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἐστὶν ταῦτα.	sont celles-ci.

ἐστίν. Ἐγὼ δ' ἀπ' αὐτῶν τούτων πρῶτον οἴομαι δῆλον ὑμῖν ποιήσειν ὅτι πάντα δικαίως ἀπολογήσομαι· τὴν γὰρ αὐτὴν τούτῳ ποιησάμενος τῶν γεγραμμένων τάξιν, περὶ πάντων ἐρῶ καθέκαστον ἐφεξῆς, καὶ οὐδὲν ἑκὼν παραλείψω. Τοῦ μὲν οὖν γράψαι πράττοντά με καὶ λέγοντα τὰ βέλτιστα τῷ δήμῳ διατελεῖν, καὶ πρόθυμον εἶναι ποιεῖν ὅ τι ἂν δύνωμαι ἀγαθόν, καὶ ἐπαινεῖν ἐπὶ τούτοις, ἐν τοῖς πολιτευομένοις τὴν κρίσιν εἶναί μοι νομίζω. Ἀπὸ γὰρ τούτων ἐξεταζομένων, εὑρεθήσεται εἴτε ἀληθῆ περὶ ἐμοῦ γέγραφε Κτησιφῶν ταῦτα καὶ προσήκοντα, εἴτε καὶ ψευδῆ· τὸ δὲ μὴ προσγράψαντα, ἐπειδὰν τὰς εὐθύνας δῷ, στεφανοῦν, καὶ ἀνειπεῖν ἐν τῷ θεάτρῳ κελεῦσαι τὸν στέφανον, κοινωνεῖν μὲν ἡγοῦμαι καὶ τοῦτο τοῖς πολιτευομένοις, εἴτε ἄξιός εἰμι τοῦ στεφάνου καὶ τῆς ἀναῤῥήσεως τῆς ἐν τούτοις, εἴτε καὶ

phon, et c'est aussi par là que je vais vous prouver, d'abord, l'exactitude et la régularité de ma justification. Je suivrai l'accusateur pas à pas, et, réfutant chaque point de son accusation, je tâcherai de n'en omettre aucun. En ce que d'un côté le décret dit que je continue à servir la république par mes actions et par mes discours, qu'il me loue du zèle dont je suis animé pour la patrie, c'est, je crois, sur ma conduite politique que porte le débat. Par cet examen, on verra si tout ce qu'avance Ctésiphon à mon sujet est faux ou véritable. En ce que, de l'autre côté, le décret ne dit pas que c'est après avoir rendu mes comptes qu'on me décernera une couronne, et qu'on la proclamera sur le théâtre, ce point tient aussi à ma conduite publique, et à la question de savoir si je mérite, ou non, qu'on me décerne une couronne, et qu'on la proclame devant le peuple. Cependant je

Ἐγὼ δὲ ἀπὸ τούτων αὐτῶν	Mais moi de celles-ci même
οἴομαι πρῶτον	je pense d'abord
ποιήσειν δῆλον ὑμῖν	devoir-faire évident à vous
ὅτι ἀπολογήσομαι	que je-me-justifierai
πάντα δικαίως·	*sur* toutes justement;
ποιησάμενος γὰρ τάξιν	car m'étant-fait la disposition
τῶν γεγραμμένων	des choses ayant-été-accusées
τὴν αὐτὴν τούτῳ,	la même *que* celui-ci,
ἐρῶ περὶ πάντων	je dirai sur toutes
καθέκαστον ἐφεξῆς,	une-à-une de-suite,
καὶ παραλείψω οὐδὲν ἑκών.	et je *n'*omettrai aucune *le* voulant.
Νομίζω μὲν οὖν	Je pense donc
τὴν κρίσιν τοῦ γράψαι	le jugement du avoir-écrit
μὲ διατελεῖν	moi persévérer
πράττοντα καὶ λέγοντα	faisant et disant
τὰ βέλτιστα τῷ δήμῳ,	les meilleures choses *pour* le peuple,
καὶ εἶναι πρόθυμον ποιεῖν	et être porté-de-cœur à faire
ὅ τι ἂν δύνωμαι ἀγαθόν,	ce que je peux de bon,
καὶ ἐπαινεῖν ἐπὶ τούτοις,	et louer *moi* sur ces choses,
εἶναί μοι ἐν τοῖς	être *pour* moi dans les *affaires*
πεπολιτευμένοις.	ayant-été-administrées.
Ἀπὸ γὰρ τούτων	Car de celles-ci
ἐξεταζομένων,	étant-examinées,
εὑρεθήσεται εἴτε Κτησιφῶν	il sera-trouvé soit-que Ctésiphon
γέγραφε περὶ ἐμοῦ ταῦτα	a écrit sur moi ces choses
ἀληθῆ καὶ προσήκοντα,	vraies et convenant,
εἴτε καὶ ψευδῆ·	soit-que aussi mensongères;
τὸ δὲ κελεῦσαι	mais *quant à* le avoir-ordonné
στεφανοῦν,	de couronner *moi*,
μὴ προσγράψαντα,	n'ayant-pas-ajouté,
ἐπειδὰν δῷ τὰς εὐθύνας,	après-qu'il aura donné les comptes,
καὶ ἀνειπεῖν τὸν στέφανον	et de proclamer la couronne
ἐν τῷ θεάτρῳ,	dans le théâtre,
ἡγοῦμαι καὶ τοῦτο κοινωνεῖν	je juge aussi cela être-en-rapport
τοῖς	*avec* les choses
πεπολιτευμένοις,	ayant-été-administrées,
εἴτε εἰμὶ ἄξιος τοῦ στεφάνου	soit-que je suis digne de la couronne
καὶ τῆς ἀναῤῥήσεως	et de la proclamation
τῆς ἐν τούτοις,	celle au-milieu-de ceux-ci.
εἴτε καὶ μή.	soit-que aussi non

μή. Ἔτι μέντοι καὶ τοὺς νομους δεικτέον εἶναί μοι δοκεῖ, καθ' οὓς ταῦτα γράφειν ἐξῆν τούτῳ.

Οὕτωσὶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, δικαίως καὶ ἁπλῶς τὴν ἀπολογίαν ἔγνωκα ποιεῖσθαι. Βαδιοῦμαι δ' ἐπ' αὐτὰ ἃ πέπρακταί μοι. Καί με μηδεὶς ὑπολάβῃ ἀπαρτᾷν τὸν λόγον τῆς γραφῆς, ἐὰν εἰς Ἑλληνικὰς πράξεις καὶ λόγους ἐμπέσω· ὁ γὰρ διώκων τοῦ ψηφίσματος τὸ λέγειν καὶ πράττειν τὰ ἄριστά με, καὶ γεγραμμένος ταῦτα ὡς οὐκ ἀληθῆ, οὗτός ἐστιν ὁ τοὺς περὶ ἁπάντων τῶν ἐμοὶ πεπολιτευμένων καὶ πεπραγμένων λόγους οἰκείους καὶ ἀναγκαίους τῇ γραφῇ πεποιηκώς. Εἶτα καὶ πολλῶν προαιρέσεων οὐσῶν τῆς πολιτείας, τὴν περὶ τὰς Ἑλληνικὰς πράξεις εἱλόμην ἐγώ· ὥςτε καὶ τὰς ἀποδείξεις ἐκ τούτων δίκαιός εἰμι ποιεῖσθαι.

Ἃ μὲν οὖν, πρὸ τοῦ πολιτεύεσθαι καὶ δημηγορεῖν ἐμέ, προῦ-

me propose de justifier encore, par les lois mêmes, le décret porté en ma faveur.

Telle est, Athéniens, la manière simple et raisonnable dont j'ai résolu de me défendre. Je vais vous entretenir d'abord de mon administration ; et ne pensez pas que je m'écarte de la cause, en rappelant mes discours et mes démarches pour l'intérêt de la Grèce. C'est celui qui attaque le décret par lequel on déclare que mes paroles et mes actions ont été utiles à la république ; c'est celui qui s'inscrit en faux contre cette louange, qui rend naturel et nécessaire à ma cause l'exposé de ma conduite dans le gouvernement ; mais comme il y a plusieurs parties dans l'administration, et que j'ai préféré celle qui a pour objet les intérêts de toute la Grèce, j'ai le droit de tirer de là mes preuves.

Je ne parlerai pas de ce que Philippe a conquis et usurpé dans la

Δοκεῖ μέντοι ἔτι μοι
καὶ εἶναι δεικτέον
τοὺς νόμους, κατὰ οὓς
ἐξῆν τούτῳ
γράφειν ταῦτα.
Ἔγνωκα μέν,
ὦ ἄνδρες Ἀθηναῖοι,
ποιεῖσθαι τὴν ἀπολογίαν
οὕτωσὶ δικαίως καὶ ἁπλῶς.
Βαδιοῦμαι δὲ
ἐπὶ αὐτὰ
ἃ πέπρακταί μοι.
Καὶ μηδεὶς ὑπολάβῃ
με ἀπαρτᾷν τὸν λόγον
τῆς γραφῆς,
ἐὰν ἐμπέσω
εἰς πράξεις
Ἑλληνικὰς
καὶ λόγους·
ὁ γὰρ διώκων τοῦ ψηφίσματος
τό με λέγειν καὶ πράττειν
τὰ ἄριστα,
καὶ γεγραμμένος ταῦτα
ὡς οὐκ ἀληθῆ,
οὗτός ἐστιν ὁ πεποιηκὼς
τοὺς λόγους περὶ ἁπάντων
τῶν πεπολιτευμένων
καὶ πεπραγμένων ἐμοὶ
οἰκείους καὶ ἀναγκαίους
τῇ γραφῇ.
Εἶτα καὶ πολλῶν προαιρέσεων
τῆς πολιτείας οὐσῶν,
ἐγὼ εἱλόμην
τὴν περὶ
τὰς πράξεις Ἑλληνικὰς
ὥςτε εἰμὶ δίκαιος
ποιεῖσθαι καὶ τὰς ἀποδείξεις
ἐκ τούτων.
Ἐάσω μὲν οὖν
ἃ Φίλιππος

Il paraît cependant encore à moi
aussi être nécessaire-de-montrer
les lois, selon lesquelles
il était-permis à celui-ci
d'écrire ces choses.
J'ai résolu,
ô hommes Athéniens,
de faire l'apologie
ainsi justement et simplement.
Mais je marcherai
vers *les choses* mêmes
qui ont-été-faites *par* moi.
Et *que* personne *ne* suppose
moi éloigner le discours
de l'accusation,
si je tombe
dans *mes* actions
concernant-les-Grecs
et *mes* discours ;
car celui poursuivant du décret
le moi dire et faire
les meilleures choses
et ayant-accusé ces *paroles*
comme non vraies,
celui-ci est celui ayant-fait
les discours sur toutes les choses
celles ayant-été-administrées
et ayant-été-faites *par* moi
propres et nécessaires
à l'accusation.
De-plus aussi de nombreux choix
de l'administration étant,
moi j'ai pris
celle concernant
les affaires Helléniques ;
en-sorte-que je suis ayant-droit
de me-faire aussi les démonstrations
d'après celles-ci.
Je laisserai donc
les choses que Philippe

λαβε καὶ κατέσχε Φίλιππος, ἐάσω· οὐδὲν γὰρ ἡγοῦμαι τούτων εἶναι πρὸς ἐμέ· ἃ δ', ἀφ' ἧς ἡμέρας ἐπὶ ταῦτα ἐπέστην ἐγώ, διεκωλύθη, ταῦτα ἀναμνήσω, καὶ τούτων ὑφέξω λόγον, τοσοῦτον ὑπειπών.

Πλεονέκτημα, ὦ ἄνδρες Ἀθηναῖοι, μέγα ὑπῆρξε Φιλίππῳ. Παρὰ γὰρ τοῖς Ἕλλησιν, οὐ τισίν, ἀλλὰ πᾶσιν ὁμοίως, φορὰν προδοτῶν καὶ δωροδόκων, καὶ θεοῖς ἐχθρῶν ἀνθρώπων, συνέβη γενέσθαι τοσαύτην ὅσην οὐδείς πω πρότερον μέμνηται γεγονυῖαν. Οὓς συναγωνιστὰς καὶ συνεργοὺς λαβὼν ὁ Φίλιππος, καὶ πρότερον κακῶς τοὺς Ἕλληνας ἔχοντας πρὸς ἑαυτοὺς καὶ στασιαστικῶς ἔτι χεῖρον διέθηκε, τοὺς μὲν ἐξαπατῶν, τοῖς δὲ διδούς, τοὺς δὲ πάντα τρόπον διαφθείρων, καὶ διέστησεν εἰς μέρη πολλά, ἑνὸς τοῦ συμφέροντος ἅπασιν ὄντος, κωλύειν ἐκεῖνον μέγαν

Grèce, avant que j'eusse pris part aux affaires et parlé devant le peuple, puisque cela m'est absolument étranger : quant à mes efforts pour m'opposer à ses entreprises, depuis que je me suis chargé de cette partie du gouvernement, j'en parlerai, et j'en rendrai compte après quelques réflexions préliminaires.

Philippe avait un grand avantage : on vit paraître dans la Grèce, et dans toute la Grèce, une multitude de traîtres, d'âmes vénales, de scélérats ennemis des dieux, si nombreux que l'on ne se rappelle pas en avoir jamais tant vu. De concert avec ces hommes, ministres et instruments de son ambition, Philippe rendait plus mauvaise la position des Grecs, déjà en désaccord et en lutte les uns avec les autres, et, trompant ceux-ci, corrompant ceux-là, les gagnant tous par toutes sortes de moyens, il vint à bout de diviser des forces qu'un même intérêt aurait dû réunir contre ses projets de

προῦλαβε καὶ κατέσχε[34],	a-prises-auparavant et a retenues,
πρὸ τοῦ ἐμὲ πολιτεύεσθαι	avant le moi administrer
καὶ δημηγορεῖν·	et harangue-le-peuple ;
ἡγοῦμαι γὰρ οὐδὲν τούτων	car je pense aucune d'elles
εἶναι πρὸς ἐμέ·	être vers moi ;
ἀναμνήσω δὲ ταῦτα	mais je rappellerai celles
ἃ διεκωλύθη,	*quant* auxquelles il a-été-empêché,
ἀπὸ ἡμέρας ἧς	depuis le jour *depuis* lequel
ἐγὼ ἐπέστην ἐπὶ ταῦτα,	moi je me-suis-appliqué à ces choses,
καὶ ὑφέξω λόγον τούτων,	et je présenterai compte d'elles,
ὑπειπὼν τοσοῦτον[35].	ayant-dit-en-outre autant.
Πλεονέκτημα μέγα,	Un avantage grand,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ὑπῆρξε Φιλίππῳ.	appartint à Philippe.
Συνέβη γὰρ φορὰν προδοτῶν	Car il arriva une foule de traîtres
καὶ δωροδόκων,	et de recevant-des-présents,
καὶ ἀνθρώπων	et d'hommes
ἐχθρῶν θεοῖς,	ennemis des dieux,
τοσαύτην ὅσην οὐδεὶς	aussi-grande que personne
μέμνηται	*ne* se rappelle
γεγονυῖάν πω πρότερον,	ayant-été encore auparavant,
γενέσθαι παρὰ τοῖς Ἕλλησιν,	être chez les Grecs,
οὐ τισίν,	non quelques-uns,
ἀλλὰ πᾶσιν ὁμοίως.	mais tous semblablement.
Οὓς ὁ Φίλιππος λαβὼν	Lesquels Philippe ayant-pris
συναγωνιστὰς καὶ συνεργούς,	auxiliaires et aides,
καὶ διέθηκεν ἔτι χεῖρον	et disposa encore plus-mal
τοὺς Ἕλληνας,	les Grecs,
ἔχοντας πρότερον	étant auparavant
κακῶς καὶ στασιαστικῶς	mal et en-désaccord
πρὸς ἑαυτούς,	envers eux-mêmes,
ἐξαπατῶν μὲν τούς,	trompant les uns,
διδοὺς δὲ τοῖς,	donnant aux autres,
διαφθείρων δὲ τοὺς	corrompant les autres
πάντα τρόπον,	*de* toute manière,
καὶ διέστησεν εἰς μέρη πολλά,	et *les* divisa en parties nombreuses,
τοῦ συμφέροντος	l'important
ὄντος ἑνὸς ἅπασι,	étant un pour tous,
κωλύειν ἐκεῖνον	d'empêcher celui-là
γίγνεσθαι μέγαν	de devenir grand..

γίγνεσθαι. Ἐν τοιαύτῃ δὲ καταστάσει, καὶ ἔτι ἀγνοίᾳ τοῦ συνιστα-μένου καὶ φυομένου κακοῦ τῶν ἁπάντων Ἑλλήνων ὄντων, δεῖ σκοπεῖν ὑμᾶς, ὦ ἄνδρες Ἀθηναῖοι, τί προσῆκον ἦν ἑλέσθαι πράττειν καὶ ποιεῖν τὴν πόλιν, καὶ τούτων λόγον παρ' ἐμοῦ λαβεῖν. Ὁ γὰρ ἐνταῦθα ἑαυτὸν τάξας τῆς πολιτείας, εἰμὶ ἐγώ. Πότερον αὐτὴν ἐχρῆν, Αἰσχίνη, τὸ φρόνημα ἀφεῖσαν καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς, ἐν τῇ Θετταλῶν καὶ Δολόπων τάξει συγκατα-κτᾶσθαι Φιλίππῳ τὴν τῶν Ἑλλήνων ἀρχήν, καὶ τὰ τῶν προ-γόνων καλὰ καὶ δίκαια ἀναιρεῖν; ἢ τοῦτο μὲν μὴ ποιεῖν (δεινὸν γὰρ ὡς ἀληθῶς), ἃ δ' ἑώρα συμβησόμενα, εἰ μηδεὶς κωλύσει, καὶ προησθάνετο, ὡς ἔοικεν, ἐκ πολλοῦ, ταῦτα περιιδεῖν γιγνό-μενα;

Ἀλλὰ νῦν ἔγωγε τὸν μάλιστα ἐπιτιμῶντα τοῖς πεπραγμένοις ἡδέως ἂν ἐροίμην, τῆς ποίας μερίδος γενέσθαι τὴν πόλιν ἐβούλετ' ἄν· πότερον τῆς συναιτίας τῶν συμβεβηκότων τοῖς Ἕλλησι κα-

grandeur. Quand tel était l'état des choses, quand tous les peuples ignoraient de plus un mal naissant, qui empirait tous les jours, il faut que vous examiniez, Athéniens, à quelles démarches devait se porter notre république, et que vous m'en fassiez rendre compte, puisque c'est moi qui me suis mis à la tête de ce genre d'administration. Fallait-il donc, Eschine, que la république d'Athènes, dépouillant sa dignité et la noblesse de ses sentiments, se rangeât, avec les Thessaliens et les Dolopes, sous les étendards de Philippe, pour conquérir avec lui et lui assurer le commandement de la Grèce, pour détruire elle-même la gloire et les droits de nos ancêtres? Ou, sans prendre ce parti, car il était trop honteux, en vérité, fallait-il qu'elle attendît en repos des malheurs qu'elle prévoyait depuis longtemps, et qui paraissaient inévitables, si personne ne travaillait à les prévenir?

Pour moi, je le demande volontiers au censeur le plus rigoureux des avis que j'ai donnés, quel parti voulait-il qu'embrassât la répu-

Ἁπάντων δὲ τῶν Ἑλλήνων	Or tous les Grecs
ὄντων ἐν καταστάσει τοιαύτῃ,	étant dans une position telle,
καὶ ἔτι ἀγνοίᾳ	et encore *dans* l'ignorance
τοῦ κακοῦ συνιστα-μένου	du mal se-formant
καὶ φυομένου,	et croissant,
δεῖ ὑμᾶς σκοπεῖν,	il faut vous considérer,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
τί ἦν προσῆκον	quoi il était convenant
τὴν πόλιν ἑλέσθαι	la ville choisir
πράττειν καὶ ποιεῖν,	de faire et exécuter,
καὶ λαβεῖν παρὰ ἐμοῦ	et recevoir de moi
λόγον τούτων.	raison de ces choses
Ἐγὼ γάρ εἰμι	Car moi je suis
ὁ τάξας ἑαυτὸν	celui ayant-placé lui-même
ἐνταῦθα τῆς πολιτείας.	là de l'administration.
Πότερον ἐχρῆν, Αἰσχίνη,	Lequel-des-deux fallait-il, Eschine,
αὐτὴν ἀφεῖσαν τὸ φρόνημα	elle ayant-rejeté le sentiment
καὶ τὴν ἀξίαν τὴν ἑαυτῆς,	et la dignité celle d'elle-même,
συγκατακτᾶσθαι Φιλίππῳ	conquérir-avec Philippe
ἐν τῇ τάξει Θετταλῶν	dans les rangs des Thessaliens
καὶ Δολόπων	et des Dolopes
τὴν ἀρχὴν τῶν Ἑλλήνων,	le commandement des Grecs,
καὶ ἀναιρεῖν	et détruire
τὰ καλὰ καὶ δίκαια	les beaux *faits* et les droits
τῶν προγόνων;	des ancêtres?
ἢ μὴ ποιεῖν μὲν τοῦτο	ou ne-pas faire il-est-vrai cela
(δεινὸν γὰρ	(car *cela serait* affreux
ὡς ἀληθῶς[36]),	véritablement),
περιιδεῖν δὲ ταῦτα γιγνόμενα,	mais négliger ces choses se faisant,
ἃ ἑώρα συμβησόμενα,	qu'elle voyait devant-arriver,
εἰ μηδεὶς κωλύσει,	si personne n'empêchait,
καὶ προησθάνετο	et *qu'*elle pressentait
ἐκ πολλοῦ, ὡς ἔοικεν;	depuis long *temps*, comme il semble.
Ἀλλὰ νῦν ἔγωγε	Mais maintenant moi-certes
ἂν ἐροίμην ἡδέως	j'interrogerais avec-plaisir
τὸν ἐπιτιμῶντα μάλιστα	celui blâmant le-plus
τοῖς πεπραγμένοις,	les choses ayant-été-faites,
τῆς ποίας μερίδος	du quel parti
ἂν ἐβούλετο τὴν πόλιν γενέσθαι·	il voudrait la ville avoir-été:
πότερον τῆς συναιτίας	ou de celui complice

κῶν καὶ αἰσχρῶν, ἧς ἂν Θετταλοὺς καὶ τοὺς μετὰ τούτων εἴποι τις· ἢ τῆς περιεωρακυίας ταῦτα γιγνόμενα ἐπὶ τῇ τῆς ἰδίας πλεονεξίας ἐλπίδι; ἧς ἂν Ἀρκάδας, καὶ Μεσσηνίους, καὶ Ἀργείους θείημεν. Ἀλλὰ καὶ τούτων πολλοί, μᾶλλον δὲ πάντες, χεῖρον ἡμῶν ἀπηλλάχασι. Καὶ γάρ, εἰ μέν, ὡς ἐκράτησε, Φίλιππος ᾤχετ' εὐθὺς ἀπιών, καὶ μετὰ ταῦτ' ἦγεν ἡσυχίαν, μήτε τῶν αὐτοῦ συμμάχων, μήτε τῶν ἄλλων Ἑλλήνων μηδένα μηδὲν λυπήσας, ὅμως ἦν ἄν τις κατὰ τῶν οὐκ ἐναντιωθέντων οἷς ἔπραττεν ἐκεῖνος μέμψις καὶ κατηγορία. Εἰ δὲ ὁμοίως ἁπάντων τὸ ἀξίωμα, τὴν ἡγεμονίαν, τὴν ἐλευθερίαν περιείλετο, μᾶλλον δὲ καὶ τὰς πολιτείας ὅσων ἠδύνατο, πῶς οὐχ ἁπάντων ἐνδοξότατα ὑμεῖς ἐβουλεύσασθε, ἐμοὶ πεισθέντες;

Ἀλλ' ἐκεῖσε ἐπανέρχομαι. Τί τὴν πόλιν, Αἰσχίνη, προσῆκε

blique? Le parti peut-être de ceux qui contribuèrent à l'infortune et au déshonneur de la Grèce, tels que les Thessaliens et d'autres qui ne pensaient pas mieux; ou de ceux qui laissèrent agir l'ennemi commun, dans l'espérance de satisfaire leur ambition particulière, comme les Arcadiens, les Messéniens et les Argiens? Mais la plupart de ces peuples, pour ne pas dire tous, se trouvent encore plus mal de leur conduite que nous de la nôtre. Quand même Philippe, après avoir vaincu, se serait retiré aussitôt, et se serait tenu en repos sans inquiéter aucun des Grecs ni de ses alliés, on pourrait cependant flétrir et accuser ceux qui ne lui ont pas résisté. Mais, s'il en voulait également à la gloire, à la puissance, à la liberté de tous les peuples; si, partout où il le pouvait, il détruisait la forme du gouvernement, dira-t-on que vous n'embrassâtes pas le parti le plus honorable, en suivant mes conseils?

Encore un coup, Eschine, que devait faire la république, lors-

τῶν κακῶν καὶ αἰσχρῶν	des choses mauvaises et honteuses
συμβεβηκότων τοῖς Ἕλλησιν;	étant arrivées aux Grecs?
ἧς τις ἂν εἴποι	duquel quelqu'un pourrait-dire
Θετταλοὺς	les Thessaliens *être*
καὶ τοὺς μετὰ τούτων·	et ceux avec eux;
ἢ τῆς περιεωρακυίος	ou de celui ayant-négligé
ταῦτα γιγνόμενα,	ces choses arrivant,
ἐπὶ τῇ ἐλπίδι	dans l'espérance
τῆς πλεονεξίας ἰδίας;	de l'avantage particulier?
ἧς ἂν θείημεν	duquel nous placerions
Ἀρκάδας, καὶ Μεσσηνίους,	les Arcadiens, et les Messéniens,
καὶ Ἀργείους.	et les Argiens.
Ἀλλὰ καὶ πολλοὶ τούτων,	Mais encore de nombreux de ceux-ci,
μᾶλλον δὲ πάντες,	et plutôt tous,
ἀπηλλάχασι χεῖρον ἡμῶν.	s'en-sont-tirés plus-mal *que* nous
Καὶ γάρ, εἰ μὲν Φίλιππος	Et en-effet, si Philippe
ᾤχετο ὡς ἐκράτησεν,	était-parti lorsqu'il eut-prévalu,
ἀπιὼν εὐθύς,	s'en-étant-allé aussitôt,
καὶ ἦγεν ἡσυχίαν	et avait-gardé le repos
μετὰ ταῦτα,	après ces choses,
λυπήσας μηδὲν μηδένα	*n'*ayant-affligé *en* rien personne
μήτε τῶν συμμάχων αὐτοῦ,	ni des alliés de lui-même,
μήτε τῶν ἄλλων Ἑλλήνων,	ni des autres Grecs,
ὅμως τις μέμψις	cependant quelque reproche
καὶ κατηγορία ἂν ἦν	et accusation serait
κατὰ τῶν οὐκ ἐναντιωθέντων	contre ceux ne s'étant-pas-opposés
οἷς ἔπραττεν ἐκεῖνος.	*aux choses* que faisait celui-là.
Εἰ δὲ περιείλετο	Mais s'il enlevait
τὸ ἀξίωμα, τὴν ἡγεμονίαν,	la dignité, le commandement,
τὴν ἐλευθερίαν ἁπάντων ὁμοίως,	la liberté de tous également,
μᾶλλον δὲ καὶ	et plutôt encore
τὰς πολιτείας	les gouvernements
ὅσων ἠδύνατο,	de tous ceux *qu'*il pouvait,
πῶς ὑμεῖς	comment vous
οὐκ ἐβουλεύσασθε	n'avez-vous pas résolu
ἐνδοξότατα ἁπάντων,	*les choses* les-plus-glorieuses de tous
πεισθέντες ἐμοί;	ayant-été-persuadés *par* moi?
Ἀλλὰ ἐπανέρχομαι ἐκεῖσε.	Mais je reviens là.
Τί προσῆκε	Quoi convenait-il
τὴν πόλιν ποιεῖν, Αἰσχίνη,	la ville faire, Eschine,

ποιεῖν, ἀρχὴν καὶ τυραννίδα τῶν Ἑλλήνων ὁρῶσαν ἑαυτῷ κατασκευαζόμενον Φίλιππον; ἢ τί τὸν σύμβουλον ἔδει λέγειν ἢ γράφειν τὸν Ἀθήνησιν ἐμέ; καὶ γὰρ τοῦτο πλεῖστον διαφέρει· ὃς συνῄδειν μὲν ἐκ παντὸς τοῦ χρόνου μέχρι τῆς ἡμέρας ἐκείνης, ἀφ' ἧς αὐτὸς ἐπὶ τὸ βῆμα ἀνέβην, ἀεὶ περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης ἀγωνιζομένην τὴν πατρίδα, καὶ πλείω σώματα καὶ χρήματα ἀναλωκυῖαν ὑπὲρ φιλοτιμίας καὶ τῶν ἅπασι τοῖς Ἕλλησι συμφερόντων, ἢ τῶν ἄλλων Ἑλλήνων ὑπὲρ αὐτῶν ἀναλώκασιν ἕκαστοι. Ἑώρων δ' αὐτὸν τὸν Φίλιππον, πρὸς ὃν ἦν ὑμῖν ὁ ἀγών, ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον, τὴν κλεῖν κατεαγότα, τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον, πᾶν ὅ τι ἂν βουληθείη μέρος ἡ τύχη τοῦ σώματος παρελέσθαι, τοῦτο ῥᾳδίως καὶ ἑτοίμως προϊέμενον, ὥςτε τῷ λοιπῷ μετὰ τιμῆς καὶ δόξης ζῆν. Καὶ μὴν οὐδὲ τοῦτό γε οὐδεὶς ἂν εἰπεῖν τολ-

qu'elle voyait Philippe marcher à l'empire et à la souveraineté de la Grèce? Et que devais-je proposer, moi, conseiller du peuple, à des Athéniens, car cette circonstance est de la plus grande importance, moi qui savais que, dans tous les temps, jusqu'au jour où je montai à la tribune, ma patrie avait toujours combattu pour l'honneur et pour la prééminence; qu'elle avait sacrifié plus d'hommes et d'argent, par un motif de gloire et pour l'intérêt de tous les Grecs, que les autres Grecs n'en avaient fourni, chacun pour lui-même. Je voyais le Macédonien, notre adversaire, braver tout pour l'empire et la puissance; je le voyais, un œil de moins, l'épaule rompue, la main et la cuisse estropiées, abandonner sans regret à la fortune telle partie de son corps qu'elle voudrait prendre, pourvu qu'avec le reste il vécût plein d'honneur et de gloire. Qui oserait dire, cependant,

ὁρῶσαν Φίλιππον	voyant Philippe
κατασκευαζόμενον ἑαυτῷ	préparant à lui-même
ἀρχὴν καὶ τυραννίδα	le commandement et la domination
τῶν Ἑλλήνων;	des Grecs?
ἢ τί ἔδει ἐμὲ	ou quoi fallait-il moi
τὸν σύμβουλον τὸν Ἀθήνησιν	le conseiller celui à Athènes
λέγειν ἢ γράφειν;	dire ou écrire?
καὶ γὰρ τοῦτο διαφέρει πλεῖστον·	et certes ceci importe très-fort;
ὃς συνῄδειν μὲν	*moi* qui savais
τὴν πατρίδα ἀγωνιζομένην ἀεί,	la patrie combattant toujours,
ἐκ παντὸς τοῦ χρόνου	de tout le temps
μέχρι ἐκείνης τῆς ἡμέρας,	jusqu'à ce jour,
ἀπὸ ἧς αὐτὸς	depuis lequel moi-même
ἀνέβην ἐπὶ τὸ βῆμα,	je montai à la tribune,
περὶ πρωτείων	pour le premier-rang
καὶ τιμῆς καὶ δόξης,	et l'honneur et la gloire,
καὶ ἀναλωκυῖαν	et ayant-dépensé
ὑπὲρ φιλοτιμίας	pour l'amour-de-l'honneur
καὶ τῶν συμφερόντων	et les choses important
ἅπασι τοῖς Ἕλλησι	à tous les Grecs
πλείω σώματα	de plus-nombreux corps
καὶ χρήματα,	et sommes-d'argent
ἢ ἕκαστοι τῶν ἄλλων Ἑλλήνων	que chacuns des autres Grecs
ἀναλώκασιν ὑπὲρ αὐτῶν.	*en* ont-dépensé pour eux-mêmes.
Ἑώρων δὲ τὸν Φίλιππον αὐτόν,	Et je voyais Philippe lui-même,
πρὸς ὃν ὁ ἀγὼν ἦν ὑμῖν,	contre lequel le combat était à vous,
ἐκκεκομμένον τὸν ὀφθαλμὸν[39]	ayant-été-crevé *quant à* l'œil
ὑπὲρ ἀρχῆς	pour le commandement
καὶ δυναστείας,	et la puissance,
κατεαγότα	ayant-été-rompu
τὴν κλεῖν,	*quant à* la clavicule,
πεπηρωμένον	ayant-été-estropié
τὴν χεῖρα, τὸ σκέλος,	*quant à* la main, *à* la jambe,
καὶ προϊέμενον	et abandonnant
ῥᾳδίως καὶ ἑτοίμως	facilement et promptement
πᾶν μέρος τοῦ σώματος,	toute partie du corps,
τοῦτο ὅ τι ἡ τύχη	celle-là que la fortune
ἂν βουληθείη παρελέσθαι,	voudrait ravir,
ὥςτε ζῆν τῷ λοιπῷ	en-sorte-de vivre *avec* le reste
μετὰ τιμῆς καὶ δόξης.	avec honneur et gloire.

μήσειεν, ὡς τῷ μὲν ἐν Πέλλῃ τραφέντι, χωρίῳ ἀδόξῳ τότε γε ὄντι καὶ μικρῷ, τοσαύτην μεγαλοψυχίαν προσῆκεν ἐγγενέσθαι, ὥστε τῆς τῶν Ἑλλήνων ἀρχῆς ἐπιθυμῆσαι, καὶ τοῦτ' εἰς τὸν νοῦν ἐμβαλέσθαι· ὑμῖν δὲ οὖσιν Ἀθηναίοις, καὶ καθ' ἡμέραν ἑκάστην ἐν πᾶσι καὶ λόγοις καὶ θεωρήμασι τῆς τῶν προγόνων ἀρετῆς ὑπομνήματ' ὁρῶσι, τοσαύτην κακίαν ὑπάρξαι, ὥστε τῆς τῶν Ἑλλήνων ἐλευθερίας αὐτεπαγγέλτους ἐθελοντὰς παραχωρῆσαι Φιλίππῳ· οὐδ' ἂν εἷς ταῦτα φήσειε.

Λοιπὸν τοίνυν ἦν, καὶ ἀναγκαῖον ἅμα, πᾶσιν οἷς ἐκεῖνος ἔπραττεν ἀδικῶν ὑμᾶς ἐναντιοῦσθαι δικαίως. Τοῦτ' ἐποιεῖτε μὲν ἐξαρχῆς ὑμεῖς, εἰκότως καὶ προσηκόντως· ἔγραφον δὲ καὶ συνεβούλευον ἐγώ, καθ' οὓς ἐπολιτευόμην χρόνους· ὁμολογῶ. Ἀλλὰ τί ἐχρῆν με ποιεῖν; ἤδη γάρ σε ἐρωτῶ, πάντα τὰ ἄλλα ἀφείς,

qu'un barbare, élevé dans Pella, ville jusqu'alors obscure et méprisée, dût avoir assez de grandeur d'âme pour désirer de commander aux Grecs, pour en former le projet; que les Athéniens, à qui la tribune et le théâtre offrent tous les jours des exemples de la vertu de leurs ancêtres, dussent avoir des sentiments assez bas, pour aller d'eux-mêmes livrer à Philippe la liberté de la Grèce? Non, on n'oserait le dire.

Il n'y avait donc qu'un dernier parti, un parti nécessaire, de vous opposer avec justice à ses injustes usurpations. Vous, Athéniens, vous le fîtes toujours, comme vous deviez le faire; et moi je vous y animai, je vous le proposai dans le temps où j'étais à la tête des affaires, je ne le nie pas. Mais, dites-nous Eschine, je vous le demande

Καὶ μὴν	Et cependant
οὐδεὶς οὐδὲ ἂν τολμήσειεν	personne n'oserait
εἰπεῖν τοῦτό γε,	dire cela certes,
ὡς προσῆκε μὲν	qu'il convenait
μεγαλοψυχίαν τοσαύτην	une élévation-d'âme si-grande
ἐγγενέσθαι	s'être-trouvée-dans
τῷ τραφέντι ἐν Πέλλῃ	celui ayant-été-nourri à Pella,
χωρίῳ ὄντι τότε γε	place étant alors du-moins
ἀδόξῳ καὶ μικρῷ,	sans-gloire et petite,
ὥστε ἐπιθυμῆσαι	au point d'avoir-désiré
τῆς ἀρχῆς τῶν Ἑλλήνων,	le commandement des Grecs,
καὶ ἐμβαλέσθαι τοῦτο	et de s'être-jeté cela
εἰς τὸν νοῦν·	dans l'esprit;
ὑμῖν δὲ οὖσιν Ἀθηναίοις,	mais *en* vous étant Athéniens,
καὶ ὁρῶσι κατὰ ἑκάστην ἡμέραν	et voyant en chaque jour
ἐν πᾶσι καὶ λόγοις	dans tous et les discours
καὶ θεωρήμασιν	et les spectacles
ὑπομνήματα τῆς ἀρετῆς	des souvenirs de la vertu
τῶν προγόνων,	des ancêtres,
κακίαν τοσαύτην	une méchanceté si grande
ὑπάρξαι,	avoir-existé,
ὥστε παραχωρῆσαι Φιλίππῳ	au-point d'avoir cédé à Philippe
αὐτεπαγγέλτους	offrant-de-vous-mêmes
ἐθελοντὰς	agissant-volontairement
τῆς ἐλθευθερίας τῶν Ἑλλήνων·	la liberté des Grecs;
οὐδὲ εἷς ἂν φήσειε ταῦτα.	pas-même un *ne* dirait ces choses
Ἦν τοίνυν λοιπόν,	Il était donc restant,
καὶ ἀναγκαῖον ἅμα,	et nécessaire tout-ensemble,
ἐναντιοῦσθαι δικαίως	de s'opposer justement
πᾶσιν	à toutes les choses
οἷς ἐκεῖνος ἔπραττεν	que celui-là faisait
ἀδικῶν ὑμᾶς.	traitant-injustement vous.
Ὑμεῖς μὲν ἐποιεῖτε τοῦτο	Vous faisiez cela
ἐξαρχῆς,	dès-le-commencement,
εἰκότως καὶ προσηκόντως·	avec-raison et convenablement,
ἐγὼ δὲ ἔγραφον καὶ συνεβούλευον,	et moi je *l'*écrivais et conseillais
κατὰ χρόνους οὓς	dans les temps *dans* lesquels
ἐπολιτευόμην·	j'administrais;
ὁμολογῶ.	je *l'*avoue.
Ἀλλὰ τί ἐχρῆν με ποιεῖν;	Mais quoi fallait-il moi faire;

Ἀμφίπολιν, Πύδναν, Ποτίδαιαν, Ἁλόννησον· οὐδενὸς τούτων μέμνημαι· Σέρριον δὲ καὶ Δορίσκον καὶ τὴν Πεπαρήθου πόρθησιν, καὶ ὅσα ἄλλα τοιαῦτα ἡ πόλις ἠδίκητο, οὐδ' εἰ γέγονεν οἶδα. Καίτοι σύ γ' ἔφησθά με ταῦτα λέγοντα, εἰς ἔχθραν ἐμβαλεῖν τουτουσί, Εὐβούλου, καὶ Ἀριστοφῶντος, καὶ Διοπείθους τῶν περὶ τούτων ὄντων ψηφισμάτων, οὐκ ἐμῶν, ὦ λέγων εὐχερῶς πᾶν ὅ τι ἂν βουληθῇς. Οὐδὲ νυν περὶ τούτων ἐρῶ. Ἀλλ' ὁ τὴν Εὔβοιαν ἐκεῖνος σφετεριζόμενος, καὶ κατασκευάζων ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν, καὶ Μεγάροις ἐπιχειρῶν, καὶ καταλαμβάνων Ὠρεόν, καὶ κατασκάπτων Πορθμόν, καὶ καθιστὰς ἐν μὲν Ὠρεῷ Φιλιστίδην τύραννον, ἐν δ' Ἐρετρίᾳ Κλείταρχον, καὶ τὸν Ἑλλήσποντον ὑφ' ἑαυτῷ ποιούμενος, καὶ Βυζάντιον πολιορκῶν, καὶ πόλεις Ἑλληνίδας, ἃς μὲν ἀναιρῶν, εἰς ἃς δὲ τοὺς φυγάδας κατάγων· πότερον, ταῦτα πάντα ποιῶν, ἠδίκει καὶ

encore, que devais-je faire? Je passe tout le reste sous silence, Amphipolis, Pydna, Potidée, Halonèse, je n'en fais point mention. Quant à la prise de Serrio et de Dorisque, à la ruine de Péparèthe, et à quelques autres dommages qu'a essuyés notre république, je ne sais même si tout cela a existé : vous disiez néanmoins tout à l'heure que mes discours, à l'occasion de ces pertes, nous avaient attiré l'inimitié de Philippe, quoique les décrets d'alors soient d'Eubule, d'Aristophon, de Diopithe, et non de moi, ô vous qui êtes si prompt à nous dire tout ce que la malignité vous suggère. Je me tais encore là-dessus. Mais un prince qui s'assujettissait l'Eubée, et voulait s'en faire un rempart contre l'Attique, qui entreprenait sur Mégare, s'emparait d'Orée, détruisait Porthmos, établissait pour tyrans, à Orée, Philistide, Clitarque, à Érétrie, qui soumettait l'Hellespont, assiégeait Byzance, rasait les villes de la Grèce, ou y rappelait les exilés, un

ἤδη γὰρ ἐρωτῶ σε,	car déjà j'interroge toi,
ἀφεὶς πάντα τὰ ἄλλα,	ayant-omis toutes les autres choses
Ἀμφίπολιν, Πύδναν,	Amphipolis, Pydna,
Ποτίδαιαν, Ἁλόννησον·	Potidée, Halonnèse;
μέμνημαι οὐδενὸς τούτων·	je *ne* rappelle aucune d'elles;
οὐδὲ δὲ οἶδα	et je ne sais pas
Σέρριον καὶ Δορίσκον,	Serrio et Dorisque,
καὶ τὴν πόρθησιν Πεπαρήθου,	et le saccagement de Péparèthe,
καὶ ἄλλα τοιαῦτα	et d'autres *évenements* tels
ὅσα ἡ πόλις	tous ceux *dans lesquels* la ville
ἠδίκητο,	avait-été-traitée-injustement,
εἰ γέγονε.	s'ils ont-eu-lieu.
Καίτοι σύ γε ἔφησθα	Cependant toi certes tu as dit
μὲ λέγοντα ταῦτα	moi disant ces choses
ἐμβαλεῖν τουτουσὶ εἰς ἔχθραν,	avoir-jeté ceux-ci dans la haine,
τῶν ψηφισμάτων περὶ τούτων	les décrets sur ces *faits*
ὄντων Εὐβούλου,	étant d'Eubule,
καὶ Ἀριστοφῶντος,	et d'Aristophon,
καὶ Διοπείθους[38],	et de Diopithe,
οὐκ ἐμῶν,	non les miens,
ὦ λέγων εὐχερῶς	ô disant facilement
πᾶν ὅ τι ἂν βουληθῇς.	tout ce que tu veux.
Οὐδὲ ἐρῶ νῦν	Ni je ne parlerai maintenant
περὶ τούτων.	sur ces choses.
Ἀλλὰ ἐκεῖνος,	Mais celui-là,
ὁ σφετεριζόμενος τὴν Εὔβοιαν[39],	celui s'appropriant l'Eubée,
καὶ κατασκευάζων	et préparant
ἐπιτείχισμα ἐπὶ τὴν Ἀττικήν,	*un* rempart contre l'Attique,
καὶ ἐπιχειρῶν Μεγάροις[40],	et étendant-la-main-sur Mégare,
καὶ καταλαμβάνων Ὠρεόν,	et prenant Orée,
καὶ κατασκάπτων Πορθμόν,	et rasant Porthmos,
καὶ καθιστὰς ἐν Ὠρεῷ	et établissant dans Orée
Φιλιστίδην τύραννον,	Philistide tyran,
ἐν δὲ Ἐρετρίᾳ Κλείταρχον,	et dans Érétrie Clitarque,
καὶ ποιούμενος ὑπὸ ἑαυτῷ	et mettant sous lui-même
τὸν Ἑλλήσποντον,	l'Hellespont,
καὶ πολιορκῶν Βυζάντιον,	et assiégeant Byzance,
καὶ ἀναιρῶν	et détruisant
ἃς μὲν πόλεις Ἑλληνίδας,	les unes villes grecques,
κατάγων δὲ εἰς ἃς τοὺς φυγάδας·	et ramenant dans les autres les exil

παρεσπόνδει, καὶ ἔλυε τὴν εἰρήνην, ἢ οὔ; καὶ πότερον φανῆναι τινα τῶν Ἑλλήνων τὸν ταῦτα κωλύσοντα ποιεῖν αὐτὸν ἐχρῆν, ἢ μή; Εἰ μὲν γὰρ μὴ ἐχρῆν, ἀλλὰ τὴν Μυσῶν λείαν καλουμένην τὴν Ἑλλάδα οὖσαν ὀφθῆναι, ζώντων Ἀθηναίων καὶ ὄντων, περιείργασμαι μὲν ἐγὼ περὶ τούτων εἰπών, περιείργασται δ' ἡ πόλις ἡ πεισθεῖσα ἐμοί· ἔστω δὲ ἀδικήματα πάντα ταῦτα, ἃ πέπρακται, καὶ ἁμαρτήματα ἐμά. Εἰ δὲ ἔδει τινὰ τούτων κωλυτὴν φανῆναι, τίνα ἄλλον, ἢ τὸν Ἀθηναίων δῆμον, προσῆκε γενέσθαι; Ταῦτα τοίνυν ἐπολιτευόμην τότ' ἐγώ· καὶ ὁρῶν καταδουλούμενον πάντας ἀνθρώπους ἐκεῖνον, ἠναντιούμην, καὶ προλέγων καὶ διδάσκων μὴ προΐεσθαι ταῦτα Φιλίππῳ διετέλουν.

Καὶ μὴν τὴν εἰρήνην γ' ἐκεῖνος ἔλυσε, τὰ πλοῖα λαβών, οὐχ ἡ πόλις, Αἰσχίνη. Φέρε δὴ αὐτὰ τὰ ψηφίσματα, καὶ τὴν ἐπιστολὴν

73

prince qui commettait toutes ces violences, agissait-il contre la justice, contre la foi des traités, rompait-il la paix ou non? Fallait-il ou non que quelque peuple de la Grèce parût pour arrêter l'accomplissement de ses desseins? S'il ne le fallait pas, si nous devions voir la Grèce devenir, comme on dit, la proie des Mysiens, Athènes subsistant et étant encore debout, je l'accorde, j'ai eu tort de donner des conseils, on a eu tort de les suivre; toutes les choses qui ont été faites sont autant d'erreurs et de crimes qui retombent sur moi. Mais s'il fallait à la Grèce un défenseur, qui devait l'être, si ce n'est le peuple d'Athènes? C'était là l'objet de mon administration. Quand je voyais Philippe asservir tous les Grecs, je traversais ses desseins, j'avertissai les peuples, je les instruisais, je les exhortais à ne pas se livrer à Philippe.

Enfin, c'est lui, Eschine, et non pas Athènes, qui a rompu la paix, en nous enlevant nos vaisseaux. Greffier, prenez les décrets, avec l

πότερον, ποιῶν πάντα ταῦτα,	est-ce que, faisant toutes ces choses,
ἠδίκει	il faisait-tort
καὶ παρεσπόνδει,	et transgressait-les-traités,
καὶ ἔλυε τὴν εἰρήνην,	et rompait la paix,
ἢ οὔ;	ou non?
καὶ πότερον ἐχρῆν	et est-ce qu'il fallait
τινὰ τῶν Ἑλλήνων φανῆναι	quelqu'un des Grecs se montrer
τὸν κωλύσοντα αὐτὸν	celui devant-empêcher lui
ποιεῖν ταῦτα, ἢ μή;	de faire ces choses, ou non?
Εἰ μὲν γὰρ μὴ ἐχρῆν,	Car s'il ne fallait pas *cela*,
ἀλλὰ τὴν Ἑλλάδα ὀφθῆναι οὖσαν	mais *s'il fallait* la Grèce être-vue étant
τὴν καλουμένην λείαν Μυσῶν[1],	celle-étant-appelée proie des Mysiens,
Ἀθηναίων ζώντων καὶ ὄντων,	les Athéniens vivant et existant,
ἐγὼ μὲν περιείργασμαι	maisj'ai-pris-un-soin-inutile
εἰπὼν περὶ τούτων,	ayant-parlé sur ces choses,
ἡ δὲ πόλις ἡ πεισθεῖσα ἐμοὶ	et la ville celle ayant-été-persuadée
περιείργασται·	a-pris-un-soin-inutile; [*par* moi
πάντα δὲ ταῦτα,	mais *que* toutes ces choses
ἃ πέπρακται,	qui ont-été-faites,
ἔστω ἀδικήματα	soient des délits
καὶ ἁμαρτήματα ἐμά.	et des fautes miennes.
Εἰ δὲ ἔδει τινὰ φανῆναι	Mais s'il fallait quelqu'un se montrer
κωλυτὴν τούτων,	empêchant ces choses,
τίνα ἄλλον προσῆκε γενέσθαι,	quel autre convenait-il être,
ἢ τὸν δῆμον Ἀθηναίων;	que le peuple des Athéniens?
Ἐγὼ τοίνυν τότε	Ainsi moi alors
ἐπολιτευόμην ταῦτα·	j'administrais ces *affaires*;
καὶ ὁρῶν ἐκεῖνον	et voyant celui-là
καταδουλούμενον	asservissant
πάντας ἀνθρώπους,	tous les hommes,
ἠναντιούμην, καὶ διετέλουν	je m'opposais, et je persévérais
προλέγων καὶ διδάσκων	disant-d'avance et instruisant
μὴ προΐεσθαι ταῦτα	de ne-pas abandonner ces choses
Φιλίππῳ.	à Philippe.
Καὶ μὴν ἐκεῖνός γε	Et cependant celui-là certes
ἔλυσε τὴν εἰρήνην,	a rompu la paix,
λαβὼν τὰ πλοῖα,	ayant-pris les navires,
οὐχ ἡ πόλις, Αἰσχίνη.	non la ville, Eschine.
Φέρε δὴ τὰ ψηφίσματα αὐτά,	Or apporte les décrets mêmes,
καὶ τὴν ἐπιστολὴν	et la lettre

τὴν τοῦ Φιλίππου, καὶ λέγε ἐφεξῆς· ἀπὸ γὰρ τούτων ἐξεταζομένων, τίς τίνος αἴτιός ἐστι, γενήσεται φανερόν. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Νεοκλέους, μηνὸς Βοηδρομιῶνος, ἐκκλησίας συγκλήτου ὑπὸ τῶν στρατηγῶν συναχθείσης, Εὔβουλος Μνησιθέου Κύπριος εἶπεν· Ἐπειδὴ προσήγγειλαν οἱ στρατηγοὶ ἐν τῇ ἐκκλησίᾳ ὡς ἄρα Λεωδάμαντα τὸν ναύαρχον, καὶ τὰ μετ' αὐτοῦ ἀποσταλέντα σκάφη εἴκοσιν ἐπὶ τὴν τοῦ σίτου παραπομπὴν εἰς Ἑλλήσποντον, ὁ παρὰ Φιλίππου στρατηγὸς Ἀμύντας καταγήοχεν εἰς Μακεδονίαν, καὶ ἐν φυλακῇ ἔχει· ἐπιμεληθῆναι τοὺς πρυτάνεις καὶ τοὺς στρατηγοὺς ὅπως ἡ βουλὴ συναχθῶσι, καὶ αἱρεθῶσι πρέσβεις πρὸς Φίλιππον, οἵτινες παραγενόμενοι διαλέξονται πρὸς αὐτὸν περὶ τοῦ ἀφεθῆναι τόν τε ναύαρχον, καὶ τὰ πλοῖα, καὶ τοὺς στρατιώτας· καὶ εἰ μὲν δι' ἄγνοιαν ταῦτα πεποίηκεν ὁ Ἀμύντας, ὅτι οὐ μεμψιμοιρεῖ ὁ δῆμος οὐδὲν αὐτῷ·

lettre de Philippe, et lisez-les de suite. Par l'examen de ces pièces, on verra clairement sur qui doivent tomber les reproches. Lisez.

DÉCRET

« Sous l'archonte Néoclès, au mois Boédromion, dans une assemblée extraordinaire convoquée par les généraux, Eubule, fils de Mnésithée, de Chypre, a dit : Puisque les généraux ont annoncé, dans l'assemblée, qu'Amyntas, général de Philippe, a conduit en Macédoine et retient sous bonne garde Léodamas, notre capitaine de vaisseau, et vingt galères envoyées dans l'Hellespont pour transporter des grains, les prytanes et les généraux auront soin d'assembler le sénat et de faire choisir des députés qui aillent trouver Philippe, pour le prier de renvoyer notre capitaine de vaisseau, nos galères et nos soldats. Si Amyntas a agi par ignorance, le peuple d'Athènes ne lui en fera

τὴν τοῦ Φιλίππου,
καὶ λέγε ἐφεξῆς·
ἀπὸ γὰρ τούτων ἐξεταζομένων
γενήσεται φανερόν,
τίς τίνος ἐστὶν αἴτιος.
Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Νεοκλέους ἄρχοντος,
μηνὸς Βοηδρομιῶνος,
ἐκκλησίας συγκλήτου
ὑπὸ τῶν στρατηγῶν
συναχθείσης,
Εὔβουλος Μνησιθέου
Κύπριος εἶπεν·
Ἐπειδὴ οἱ στρατηγοὶ
προσήγγειλαν ἐν τῇ ἐκκλησίᾳ
ἄρα ὡς Ἀμύντας
ὁ στρατηγὸς παρὰ Φιλίππου
καταγήοχεν εἰς Μακεδονίαν,
καὶ ἔχει ἐν φυλακῇ Λεωδάμαντα
τὸν ναύαρχον,
καὶ τὰ εἴκοσι σκάφη
ἀποσταλέντα μετὰ αὐτοῦ
εἰς Ἑλλήσποντον
ἐπὶ τὴν παραπομπὴν τοῦ σίτου·
τοὺς πρυτάνεις
καὶ τοὺς στρατηγοὺς
ἐπιμεληθῆναι ὅπως
ἡ βουλὴ συναχθῶσι [42]
καὶ πρέσβεις πρὸς Φίλιππον
αἱρεθῶσιν,
οἵτινες παραγενόμενοι
διαλέξονται πρὸς αὐτὸν
περὶ τοῦ τόν τε ναύαρχον,
καὶ τὰ πλοῖα,
καὶ τοὺς στρατιώτας ἀφεθῆναι·
καὶ εἰ μὲν ὁ Ἀμύντας
πεποίηκε ταῦτα διὰ ἄγνοιαν,
ὅτι ὁ δῆμος
οὐ μεμψιμοιρεῖ οὐδὲν αὐτῷ·

celle de Philippe,
et dis-*les* de suite ;
car de ces *pièces* étant-examinées
il deviendra évident,
qui de quoi est cause.
Dis.

DÉCRET.

« Sous Néoclès archonte,
le mois Boédromion,
une assemblée convoquée
par les généraux
ayant-été-réunie,
Eubule *fils* de Mnésithée
de-Chypre a dit :
Puisque les généraux
ont annoncé dans l'assemblée
savoir que Amyntas,
le général de-la-part-de Philippe
a conduit en Macédoine,
et a en garde Léodamas
le commandant-des-vaisseaux,
et les vingt navires
ayant-été-envoyés avec lui
dans l'Hellespont
pour le transport du blé ;
les prytanes
et les généraux
prendre-soin afin-que
le sénat soit-rassemblé
et *que* des députés vers Philippe
soient-choisis,
lesquels étant-arrivés
discourront vers lui
sur le et le commandant-des-vaisseaux
et les navires,
et les soldats être-renvoyés ;
et si Amyntas
a fait ces choses par ignorance,
que le peuple
ne reproche rien à lui ;

εἰ δέ τι πλημμελοῦντα παρὰ τὰ ἐπεσταλμένα λαβών, ὅτι ἐπισκεψάμενοι Ἀθηναῖοι ἐπιτιμήσουσι κατὰ τὴν τῆς ὀλιγωρίας ἀξίαν· εἰ δὲ μηδέτερον τούτων ἐστίν, ἀλλ' ἰδίᾳ ἀγνωμονοῦσιν, ἢ ὁ ἀποστείλας ἢ ὁ ἀπεσταλμένος, καὶ τοῦτο λέγειν, ἵνα αἰσθανόμενος ὁ δῆμος βουλεύσηται τί δεῖ ποιεῖν. »

Τοῦτο μὲν τοίνυν τὸ ψήφισμα Εὔβουλος ἔγραψεν, οὐκ ἐγώ· τὸ δ' ἐφεξῆς, Ἀριστοφῶν, εἶθ' Ἡγήσιππος, εἶτα Ἀριστοφῶν πάλιν, εἶτα Φιλοκράτης, εἶτα Κηφισοφῶν, εἶτα πάντες οἱ ἄλλοι· ἐγὼ δ' οὐδὲν περὶ τούτων.

Λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Νεοκλέους ἄρχοντος, Βοηδρομιῶνος ἕνῃ καὶ νέᾳ, βουλῆς γνώμῃ, πρυτάνεις καὶ στρατηγοὶ ἐχρημάτισαν, τὰ ἐκ τῆς ἐκκλησίας ἀνενεγκόντες, ὅτι ἔδοξε τῷ δήμῳ πρέσβεις ἑλέσθαι πρὸς Φίλιππον περὶ τῆς τῶν πλοίων ἀνακομιδῆς, καὶ ἐντολὰς

aucun reproche; s'il a surpris notre commandant transgressant les ordres qui lui avaient été donnés, le peuple d'Athènes examinera sa conduite et lui infligera une peine proportionnée à sa faute; s'il n'y a rien de semblable, et que de plein gré la justice ait été violée, soit par Philippe, soit par son envoyé, les députés sont chargés de prier Philippe de le dire, pour que le peuple en prenne connaissance, et délibère sur ce qu'il doit faire. »

C'est Eubule qui a porté ce décret, et non Démosthène. Aristophon a porté le suivant; Hégésippe en a porté un ensuite, puis Aristophon pour la seconde fois, puis Philocrate, puis Céphisophon, puis tous les autres; mais de ma part il n'en existe aucun.

Lisez le second décret.

DÉCRET.

« Sous l'archonte Néoclès, le dernier jour de Boédromion, de l'avis du sénat, les prytanes et les généraux ayant fait le rapport de ce qu'on avait décidé dans l'assemblée, savoir que le peuple avait résolu de choisir des députés, pour demander à Philippe le renvoi des galères,

εἰ δὲ λαβὼν	mais si ayant-pris
πλημμελοῦντά τι	*lui* péchant *en* quelque chose
παρὰ τὰ ἐπεσταλμένα,	contre les *ordres* ayant-été-mandés,
ὅτι Ἀθηναῖοι ἐπισκεψάμενοι	que les Athéniens ayant-examiné
ἐπιτιμήσουσι	puniront
κατὰ τὴν ἀξίαν	selon la valeur
τῆς ὀλιγωρίας·	de la négligence;
εἰ δὲ μηδέτερον	mais si ni-l'une-ni-l'autre
τούτων ἐστίν,	de ces choses est,
ἀλλὰ ἢ ὁ ἀποστείλας	mais *si* ou celui ayant-envoyé
ἢ ὁ ἀπεσταλμένος	ou celui ayant-été-envoyé
ἀγνωμονοῦσιν ἰδίᾳ,	sont-injustes en-particulier,
λέγειν καὶ τοῦτο,	*Philippe* dire aussi cela,
ἵνα ὁ δῆμος αἰσθανόμενος	afin-que le peuple apprenant
βουλεύσηται τί δεῖ ποιεῖν. »	délibère quoi il faut faire. »
Εὔβουλος μὲν τοίνυν	Eubule donc
ἔγραψε τοῦτο τὸ ψήφισμα,	a-écrit ce décret,
οὐκ ἐγώ·	non moi;
Ἀριστοφῶν δὲ τὸ ἐφεξῆς,	et Aristophon celui à-la-suite,
εἶτα Ἡγήσιππος,	ensuite Hégésippe,
εἶτα Ἀριστοφῶν πάλιν,	ensuite Aristophon de-nouveau,
εἶτα Φιλοκράτης,	ensuite Philocrate,
εἶτα Κηφισοφῶν,	ensuite Céphisophon,
εἶτα πάντες οἱ ἄλλοι·	ensuite tous les autres;
ἐγὼ δὲ οὐδὲν περὶ τούτων.	mais moi aucun sur ces choses.
Λέγε τὸ ψήφισμα.	Dis le décret.
ΨΗΦΙΣΜΑ.	DÉCRET.
« Ἐπὶ Νεοκλέους ἄρχοντος,	« Sous Néoclès archonte,
ἑνῃ καὶ νέᾳ	l'ancien et nouveau *jour*
Βοηδρομιῶνος,	de Boédromion,
γνώμῃ βουλῆς,	de l'avis du sénat,
πρυτάνεις καὶ στρατηγοὶ	les prytanes et les généraux
ἐχρημάτισαν,	ont-parlé-des-affaires,
ἀνενεγκόντες	ayant-rapporté
τὰ ἐκ τῆς ἐκκλησίας,	les choses de l'assemblée,
ὅτι ἔδοξε τῷ δήμῳ	qu'il a-paru-bon au peuple
ἑλέσθαι πρέσβεις πρὸς Φίλιππον	de choisir des députés vers Philippe
περὶ τῆς ἀνακομιδῆς τῶν πλοίων,	au-sujet du renvoi des navires,

δοῦναι, καὶ τὰ ἐκ τῆς ἐκκλησίας ψηφίσματα. Καὶ εἵλοντο τούςδε· Κηφισοφῶντα Κλέωνος Ἀναφλύστιον, Δημόκριτον Δημοφῶντος Ἀναγυράσιον, Πολύκριτον Ἀπημάντου Κοθωκίδην. Πρυτανείᾳ φυλῆς Ἱπποθοωντίδος, Ἀριστοφῶν Κολυττεύς, πρόεδρος, εἶπεν. »

Ὥςπερ τοίνυν ἐγὼ ταῦτα δεικνύω τὰ ψηφίσματα, οὕτω καὶ σὺ δεῖξον, Αἰσχίνη, ποῖον ἐγὼ γράψας ψήφισμα, αἴτιός εἰμι τοῦ πολέμου. Ἀλλ' οὐκ ἂν ἔχοις· εἰ γὰρ εἶχες, οὐδὲν ἂν αὐτοῦ πρότερον νυνὶ παρέσχου. Καὶ μὴν οὐδ' ὁ Φίλιππος οὐδὲν αἰτιᾶταί με ὑπὲρ τοῦ πολέμου, ἑτέροις ἐγκαλῶν.

Λέγε δ' αὐτὴν τὴν ἐπιστολὴν τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν.

« Παραγενόμενοι πρὸς ἐμὲ οἱ παρ' ὑμῶν πρεσβευταί, Κηφισοφῶν καὶ Δημόκριτος καὶ Πολύκριτος, διελέγοντο περὶ τῆς τῶν

et pour lui communiquer les ordres et les décrets du peuple, ont été choisis pour députés : Céphisophon, fils de Cléon, d'Anaphlyste; Démocrite, fils de Démophon, d'Anagyruse; Polycrite, fils d'Apémante, de Cothoce. Sous la présidence de la tribu Hippothoontide, Aristophon de Colytte, proèdre, a dit. »

Je vous montre ces décrets, Eschine; montrez-moi de même par quel décret j'ai causé la guerre. Mais cela vous est impossible; car, si vous l'aviez pu, c'eût été la première chose que vous auriez faite. Philippe lui-même ne me reproche rien à ce sujet, quoiqu'il se plaigne des autres ministres.

Lisez, greffier, la lettre de Philippe.

LETTRE DE PHILIPPE.

« Philippe, roi de Macédoine, au sénat et au peuple d'Athènes, salut.

« Vos députés, Céphisophon, Démocrite et Polycrite, m'ont demand de vous renvoyer les vaisseaux que commandait Léodamas. En géné-

καὶ δοῦναι ἐντολάς,
καὶ τὰ ψηφίσματα
ἐκ τῆς ἐκκλησίας.
Καὶ εἵλοντο τούςδε·
Κηφισοφῶντα Κλέωνος
Ἀναφλύστιον,
Δημόκριτον Δημοφῶντος
Ἀναγυράσιον,
Πολύκριτον Ἀπημάντου
Κοθωκίδην.
Πρυτανείᾳ
φυλῆς Ἱπποθοωντίδος,
Ἀριστοφῶν Κολυττεύς,
πρόεδρος, εἶπεν. »
Ὥςπερ τοίνυν ἐγὼ
δεικνύω ταῦτα τὰ ψηφίσματα,
οὕτω καὶ σύ,
Αἰσχίνη, δεῖξον
ποῖον ψήφισμα ἐγὼ γράψας,
εἰμὶ αἴτιος τοῦ πολέμου.
Ἀλλὰ οὐκ ἂν ἔχοις·
εἰ γὰρ εἶχες,
παρέσχου ἂν οὐδὲν νυνὶ
πρότερον αὐτοῦ.
Καὶ μὴν οὐδὲ ὁ Φίλιππος
αἰτιᾶταί με οὐδὲν
ὑπὲρ τοῦ πολέμου,
ἐγκαλῶν ἑτέροις.
Λέγε δὲ τὴν ἐπιστολὴν αὐτὴν
τοῦ Φιλίππου.

ΕΠΙΣΤΟΛΗ ΦΙΛΙΠΠΟΥ.

« Φίλιππος βασιλεὺς Μακεδόνων
τῇ βουλῇ καὶ τῷ δήμῳ Ἀθηναίων
χαίρειν.
« Οἱ πρεσβευταὶ παρὰ ὑμῶν
παραγενόμενοι πρὸς ἐμέ,
Κηφισοφῶν
καὶ Δημόκριτος καὶ Πολύκριτος,
διελέγοντο περὶ τῆς ἀφέσεως

et de donner des ordres,
et les décrets
de l'assemblée.
Et ils ont-choisi ceux-ci :
Céphisophon *fils* de Cléon
d'Anaphlyste,
Démocrite *fils* de Démophon
d'Anagyruse,
Polycrite *fils* d'Apémante
de-Cothoce.
Sous la prytanie
de la tribu Hippothoontide,
Aristophon de-Colytte,
président, a dit. »
Donc comme moi
je montre ces décrets,
ainsi aussi toi,
Eschine, montre
quel décret moi ayant-écrit,
je suis cause de la guerre.
Mais tu ne *l'*aurais pas ;
car si tu *l'*avais,
tu *n'*aurais produit rien maintenant
précédemment à lui.
Et cependant pas-même Philippe
ne reproche à moi rien
au-sujet de la guerre,
accusant les autres.
Mais dis la lettre même
de Philippe.

LETTRE DE PHILIPPE.

« Philippe, roi des Macédoniens,
au sénat et au peuple des Athéniens
salut.
« Les députés de-la-part de vous
étant-arrivés vers moi,
Céphisophon
et Démocrite et Polycrite,
ont-discouru sur le renvoi

πλοίων ἀφέσεως, ὧν ἐναυάρχει Λαομέδων. Καθόλου μὲν οὖν ἔμοιγε φαίνεσθε ἐν μεγάλῃ εὐηθείᾳ ἔσεσθαι, εἰ οἴεσθέ με λανθάνειν ὅτι ἐξαπεστάλη ταῦτα τὰ πλοῖα, πρόφασιν μὲν ὡς τὸν σῖτον παραπέμψοντα ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον, βοηθήσοντα δὲ Σηλυμβριανοῖς, τοῖς ὑπ' ἐμοῦ μὲν πολιορκουμένοις, οὐ συμπεριειλημμένοις δὲ ἐν ταῖς τῆς φιλίας κοινῇ κειμέναις ἡμῖν συνθήκαις. Καὶ ταῦτα συνετάχθη τῷ ναυάρχῳ ἄνευ μὲν τοῦ δήμου τῶν Ἀθηναίων, ὑπὸ δέ τινων ἀρχόντων, καὶ ἑτέρων, ἰδιωτῶν μὲν νῦν ὄντων, ἐκ παντὸς δὲ τρόπου βουλομένων τὸν δῆμον, ἀντὶ τῆς νῦν ὑπαρχούσης πρὸς ἐμὲ φιλίας, τὸν πόλεμον ἀναλαβεῖν, πολλῷ μᾶλλον φιλοτιμουμένων τοῦτο συντετελέσθαι, ἢ τοῖς Σηλυμβριανοῖς βοηθῆσαι· καὶ ὑπολαμβάνουσιν αὐτοῖς τὸ τοιοῦτον πρόσοδον ἔσεσθαι. Οὐ μέντοι μοι δοκεῖ τοῦτο χρήσιμον ὑπάρχειν οὔθ' ὑμῖν, οὔτ' ἐμοί. Διόπερ τά τε νῦν καταχθέντα

ral, vous me paraissez bien simples de croire que j'ignore que ces vaisseaux, partis en apparence pour transporter du blé de l'Hellespont à Lemnos, étaient destinés à secourir les Sélymbriens, que je tiens assiégés, et qui ne sont pas compris dans nos traités; que ces ordres ont été donnés au capitaine de vaisseau, à l'insu du peuple d'Athènes, par quelques magistrats qui sont encore en charge, et par plusieurs autres, qui, rentrés dans la vie privée, n'en font pas moins tous leurs efforts pour engager le peuple à rompre les liens de l'amitié qui nous unit, et à recommencer la guerre, cherchant plutôt à atteindre ce but dans l'espérance des avantages qu'ils peuvent en retirer, qu'à porter des secours aux Sélymbriens. Je crois que cette rupture ne serait avantageuse ni à vous ni à moi. C'est pourquoi je vous renvoie les galères que

τῶν πλοίων, ὧν Λαομέδων	des navires, dont Laomédon
ἐναυάρχει.	était-commandant
Καθόλου μὲν οὖν	En- général donc
φαίνεσθε ἔμοιγε	vous paraissez à moi-certes
ἔσεσθαι	devoir-être
ἐν εὐηθείᾳ μεγάλῃ,	dans une bonhomie grande,
εἰ οἴεσθε λανθάνειν με	si vous croyez échapper à moi
ὅτι ταῦτα τὰ πλοῖα ἐξαπεστάλη,	que ces bâtiments ont-été-envoyé
πρόφασιν μὲν	*selon* le prétexte
ὡς παραπέμψοντα τὸν σῖτον	comme devant-transporter le blé
ἐκ τοῦ Ἑλλησπόντου εἰς Λῆμνον[43],	de l'Hellespont à Lemnos,
βοηθήσοντα δὲ	mais devant-secourir
Σηλυμβριανοῖς[44],	les Sélymbriens,
τοῖς πολιορκουμένοις μὲν	ceux étant-assiégés à-la-vérité
ὑπὸ ἐμοῦ,	par moi,
οὐ δὲ συμπεριειλημμένοις	mais n'ayant-pas-été-compris
ἐν ταῖς συνθήκαις τῆς φιλίας	dans les conventions de l'amitié
κειμέναις ἡμῖν κοινῇ.	étant-établies *pour* nous en-commun.
Καὶ ταῦτα συνετάχθη	Et ces choses ont-été-enjointes
τῷ ναυάρχῳ	au commandant-des-vaisseaux
ἄνευ μὲν τοῦ δήμου	sans le peuple
τῶν Ἀθηναίων,	des Athéniens,
ὑπὸ δέ τινων ἀρχόντων,	mais par quelques magistrats,
καὶ ἑτέρων,	et d'autres,
νῦν μὲν ὄντων ἰδιωτῶν,	maintenant étant particuliers,
βουλομένων δὲ	mais voulant
ἐκ παντὸς τρόπου	de toute manière
τὸν δῆμον ἀναλαβεῖν τὸν πόλεμον,	le peuple reprendre la guerre,
ἀντὶ τῆς φιλίας	au lieu de l'amitié
ὑπαρχούσης νῦν πρὸς ἐμέ,	existant maintenant envers moi,
φιλοτιμουμένων πολλῷ μᾶλλον	ambitionnant beaucoup plutôt
τοῦτο συντετελέσθαι	cela avoir-été-accompli
ἢ βοηθῆσαι	que d'avoir-secouru
τοῖς Σηλυμβριανοῖς·	les Sélymbriens;
καὶ ὑπολαμβάνουσι	et ils présument
τὸ τοιοῦτον	la chose telle
ἔσεσθαι πρόσοδον αὐτοῖς.	devoir-être un profit à eux.
Τοῦτο μέντοι οὐ δοκεῖ μοι	Ceci cependant ne paraît pas à moi
ὑπάρχειν χρήσιμον	être utile
οὔτε ὑμῖν, οὔτε ἐμοί.	ni à vous, ni à moi.

πλοῖα πρὸς ἡμᾶς ἀφίημι ὑμῖν, καὶ τοῦ λοιποῦ, ἐὰν βούλησθε μὴ ἐπιτρέπειν τοῖς προεστηκόσιν ὑμῶν κακοήθως πολιτεύεσθαι, ἀλλ' ἐπιτιμᾶτε, πειράσομαι κἀγὼ διαφυλάττειν τὴν εἰρήνην. Εὐτυχεῖτε. »

Ἐνταῦθ' οὐδαμοῦ Δημοσθένην γέγραφεν, οὐδ' αἰτίαν οὐδεμίαν κατ' ἐμοῦ. Τί ποτ' οὖν, τοῖς ἄλλοις ἐγκαλῶν, τῶν ἐμοὶ πεπραγμένων οὐχὶ μέμνηται; ὅτι τῶν ἀδικημάτων ἂν ἐμέμνητο τῶν ἑαυτοῦ, εἴ τι περὶ ἐμοῦ ἐγεγράφει· τούτων γὰρ εἰχόμην ἐγώ, καὶ τούτοις ἠναντιούμην. Καὶ πρῶτον μέν, τὴν εἰς Πελοπόννησον πρεσβείαν ἔγραψα, ὅτε πρῶτον ἐκεῖνος εἰς Πελοπόννησον παρεδύετο· εἶτα τὴν εἰς Εὔβοιαν, ἡνίκ' Εὐβοίας ἥπτετο· εἶτα τὴν ἐπ' Ὠρεὸν ἔξοδον, οὐκέτι πρεσβείαν, καὶ τὴν εἰς Ἐρέτριαν, ἐπειδὴ τυράννους ἐκεῖνος ἐν ταύταις ταῖς πόλεσι κατέστησε. Μετὰ ταῦτα δὲ τοὺς ἀποστόλους ἅπαντας ἀπέστειλα, καθ' οὓς

vous réclamez; et si, à l'avenir, vous voulez éloigner de vos affaires des ministres qui vous gouvernent si mal, et les punir comme ils le méritent, je tâcherai moi-même de maintenir la paix. Je vous salue.»

On ne voit, dans cette lettre, ni le nom de Démosthène, ni aucune plainte qui tombe sur moi personnellement. Pourquoi donc, en se plaignant des autres, Philippe ne parle-t-il pas de moi? C'est qu'il n'aurait pu rappeler ce que j'ai fait, sans réveiller le souvenir de ses injustices, que je poursuivais et traversais sans cesse. Il avait cherché à s'introduire dans le Péloponèse, je proposai sur-le-champ une députation pour le Péloponèse; j'en proposai aussi pour l'Eubée, lorsqu'il toucha à l'Eubée; lorsqu'il établit des tyrans dans Orée et dans Érétrie, je proposai pour ces deux villes, non plus une députation, mais une expédition; après quoi, j'envoyai contre lui des flottes qui

Διόπερ νῦν τε
ἀφίημι ὑμῖν τὰ πλοῖα
καταχθέντα πρὸς ἡμᾶς,
καὶ τοῦ λοιποῦ,
ἐὰν βούλησθε μὴ ἐπιτρέπειν
τοῖς προεστηκόσιν ὑμῶν
πολιτεύεσθαι κακοήθως,
ἀλλὰ ἐπιτιμᾶτε,
καὶ ἐγὼ πειράσομαι
διαφυλάττειν τὴν εἰρήνην.
Εὐτυχεῖτε. »
Ἐνταῦθα οὐδαμοῦ
γέγραφε Δημοσθένην,
οὐδὲ οὐδεμίαν αἰτίαν κατὰ ἐμοῦ.
Τί ποτε οὖν,
ἐγκαλῶν τοῖς ἄλλοις,
οὐχὶ μέμνηται
τῶν πεπραγμένων ἐμοί;
ὅτι ἂν ἐμέμνητο
τῶν ἀδικημάτων τῶν ἑαυτοῦ,
εἰ ἐγεγράφει τι περὶ ἐμοῦ·
ἐγὼ γὰρ εἰχόμην τούτων,
καὶ ἠναντιούμην τούτοις.
Καὶ πρῶτον μέν,
ἔγραψα τὴν πρεσβείαν
εἰς Πελοπόννησον[45],
ὅτε πρῶτον ἐκεῖνος
παρεδύετο εἰς Πελοπόννησον·
Ἶτα τὴν εἰς Εὔβοιαν,
ἡνίκα ἥπτετο Εὐβοίας·
εἶτα τὴν ἔξοδον
ἐπὶ Ὠρεόν[46],
οὐκέτι πρεσβείαν,
καὶ τὴν εἰς Ἐρέτριαν,
ἐπειδὴ ἐκεῖνος
κατέστησε τυράννους
ἐν ταύταις ταῖς πόλεσι.
Μετὰ δὲ ταῦτα ἀπέστειλα
ἅπαντας τοὺς ἀποστόλους,
κατὰ οὓς

C'est-pour-quoi et maintenant
je renvoie à vous les navires
ayant-été-emmenés vers nous,
et *pour* le reste *du temps*,
si vous voulez ne-pas permettre
à ceux se-tenant-à-la-tête de vous
d'administrer méchamment,
mais *si* vous *les* punissez,
aussi moi je m'efforcerai
de conserver la paix.
Soyez-heureux. »
Ici nulle-part
il *n'*a écrit Démosthène,
ni aucune accusation contre moi.
Pourquoi donc,
accusant les autres,
n'a-t-il pas rappelé
les choses ayant-été-faites *par* moi?
par-ce qu'il aurait-rappelé
les injustices celles de lui-même,
s'il avait-écrit quelque chose sur moi;
car moi j'étais-occupé d'elles,
et je m'opposais à elles.
Et d'abord,
j'ai proposé la députation
dans le Péloponèse,
lorsque d'abord celui-là
se glissait dans le Péloponèse;
ensuite celle en Eubée,
lorsqu'il touchait à l'Eubée;
ensuite l'expédition
vers Orée,
non-plus députation,
et celle vers Érétrie,
après-que celui-là
eut établi des tyrans
dans ces villes.
Et après ces choses j'ai envoyé
toutes les expéditions-navales,
au-moyen desquelles

Χερρόνησος ἐσώθη, καὶ Βυζάντιον, καὶ πάντες οἱ σύμμαχοι. Ἐξ ὧν ὑμῖν μὲν τὰ κάλλιστα, ἔπαινοι, δόξαι, τιμαί, στέφανοι, χάριτες παρὰ τῶν εὖ πεπονθότων ἐγίγνοντο· τῶν δ' ἀδικουμένων, τοῖς μὲν ὑμῖν τότε πεισθεῖσιν, ἡ σωτηρία περιεγένετο· τοῖς δ' ὀλιγωρήσασι, τὸ πολλάκις ὧν ὑμεῖς προείπατε μεμνῆσθαι, καὶ νομίζειν ὑμᾶς μὴ μόνον εὔνους ἑαυτοῖς, ἀλλὰ καὶ φρονίμους ἀνθρώπους καὶ μάντεις εἶναι· πάντα γὰρ ἐκβέβηκεν ἃ προείπατε αὐτοῖς. Καὶ μήν, ὅτι πολλὰ μὲν ἂν χρήματα ἔδωκε Φιλιστίδης, ὥςτ' ἔχειν Ὠρεόν, πολλὰ δὲ Κλείταρχος, ὥςτ' ἔχειν Ἐρέτριαν, πολλὰ δ' αὐτὸς ὁ Φίλιππος, ὥςτε ταῦθ' ὑπάρχειν ἐφ' ὑμᾶς αὐτῷ, καὶ περὶ τῶν ἄλλων μηδὲν ἐξελέγχεσθαι, μηδέ, ἃ ποιῶν ἠδίκει, μηδένα ἐξετάζειν πανταχοῦ, οὐδεὶς ἀγνοεῖ, καὶ πάντων ἥκιστα σύ. Οἱ γὰρ παρὰ τοῦ Κλειτάρχου καὶ τοῦ Φιλιστίδου τότε πρέ-

sauvèrent la Chersonèse, Byzance et tous nos alliés. De là ces grands résultats pour vous, les éloges, les honneurs, les couronnes, les actions de grâce, dont leur reconnaissance paya vos bienfaits. Parmi les peuples attaqués, ceux qui suivirent vos conseils y trouvèrent leur salut; les autres, qui les avaient négligés, eurent souvent lieu de se rappeler ce que vous leur aviez prédit, aussi convaincus de votre sagesse et de votre prévoyance que de votre bienveillance, puisque vos prédictions furent toutes justifiées par l'événement. Cependant personne n'ignore que Philistide eût donné beaucoup d'argent pour être maître dans Orée; Clitarque, pour l'être dans Érétrie; Philippe lui-même, pour avoir ces deux places à sa disposition contre vous, pour s'assurer qu'on ne l'accuserait en rien sur tout le reste, qu'on fermerait les yeux sur ses injustes entreprises; et vous l'ignorez moins que personne, vous qui logiez les députés de Clitarque et de Philistide lors-

ἐσώθη Χερρόνησος, καὶ Βυζάντιον,	fut-sauvée la Chersonèse, et Byzance,
καὶ πάντες οἱ σύμμαχοι.	et tous les alliés.
Ἐξ ὧν	D'après lesquelles choses
τὰ κάλλιστα μέν,	les plus belles *récompenses*,
ἔπαινοι, δόξαι, τιμαί,	éloges, gloire, honneurs,
στέφανοι, χάριτες	couronnes, actions-de-grâces
ἐγίγνοντο ὑμῖν	arrivèrent à vous
παρὰ τῶν πεπονθότων εὖ·	de-la-part de ceux ayant-éprouvé bien;
τῶν δὲ ἀδικουμένων,	et de ceux recevant-injustice,
ἡ σωτηρία περιεγένετο	le salut résulta [alors;
τοῖς μὲν πεισθεῖσιν ὑμῖν τότε·	à ceux ayant-été-persuadés *par* vous
τοῖς δὲ ὀλιγωρήσασι,	mais à ceux ayant-fait-peu-de-cas,
τὸ μεμνῆσθαι πολλάκις	le se-rappeler souvent
ὧν ὑμεῖς προείπατε,	les choses que vous aviez-prédites,
καὶ νομίζειν ὑμᾶς εἶναι	et penser vous être
μὴ μόνον εὔνους	non seulement bienveillants
ἑαυτοῖς,	*pour* eux-mêmes,
ἀλλὰ καὶ ἀνθρώπους φρονίμους	mais encore hommes sages
καὶ μάντεις· πάντα γὰρ	et devins; car toutes les choses
ἃ προείπατε αὐτοῖς	que vous avez prédites à eux
ἐκβέβηκε.	sont-arrivées.
Καὶ μήν, ὅτι Φιλιστίδης μὲν	Et certes, que Philistide
ἂν ἔδωκε	aurait donné
χρήματα πολλά,	des sommes nombreuses,
ὥςτε ἔχειν Ὠρεόν,	pour avoir Orée,
Κλείταρχος δὲ πολλά,	et Clitarque de nombreuses,
ὥςτε ἔχειν Ἐρέτριαν,	pour avoir Érétrie,
ὁ δὲ Φίλιππος αὐτὸς πολλά,	et Philippe même de nombreuses,
ὥςτε ταῦτα ὑπάρχειν αὐτῷ	pour ces *places* être à lui
ἐπὶ ὑμᾶς,	contre vous,
καὶ μηδὲν ἐξελέγχεσθαι	et rien être-démontré
περὶ τῶν ἄλλων,	touchant les autres *projets*,
μηδὲ μηδένα ἐξετάζειν πανταχοῦ	ni personne rechercher partout
ἃ ποιῶν	*les choses* que faisant
ἠδίκει,	il commettait-des-injustices,
οὐδεὶς ἀγνοεῖ,	personne ne *l'*ignore,
καὶ σὺ ἥκιστα πάντων.	et toi le-moins de tous.
Οἱ γὰρ πρέσβεις τότε	Car les députés d'alors
παρὰ τοῦ Κλειτάρχου	de-la-part de Clitarque
καὶ τοῦ Φιλιστίδου	et de Philistide

σθεις δεῦρ' ἀφικνούμενοι παρὰ σοὶ κατέλυον, Αἰσχίνη· καὶ σὺ προὐξένεις αὐτῶν, οὓς ἡ μὲν πόλις ὡς ἐχθρούς, καὶ οὔτε δίκαια οὔτε συμφέροντα λέγοντας, ἀπήλασε· σοὶ δ' ἦσαν φίλοι. Οὐ τοίνυν ἐπράχθη τούτων οὐδέν, ὦ βλασφημῶν περὶ ἐμοῦ, καὶ λέγων ὡς σιωπῶ μὲν λαβών, βοῶ δ' ἀναλώσας. Ἀλλ' οὐ σύ γε· ἀλλὰ βοᾷς μὲν ἔχων, παύσῃ δὲ οὐδέποτ', ἐὰν μή σε οὗτοι παύσωσιν, ἀτιμώσαντες τήμερον.

Στεφανωσάντων τοίνυν ὑμῶν ἐμὲ ἐπὶ τούτοις τότε, καὶ γράψαντος Ἀριστονίκου τὰς αὐτὰς συλλαβάς, ἅσπερ οὗτοσὶ Κτησιφῶν νῦν γέγραφε, καὶ ἀναῤῥηθέντος ἐν τῷ θεάτρῳ τοῦ στεφάνου, καὶ δευτέρου κηρύγματος ἤδη μοι τούτου γιγνομένου, οὔτ' ἀντεῖπεν Αἰσχίνης παρών, οὔτε τὸν εἰπόντα ἐγράψατο.

Καί μοι λέγε καὶ τοῦτο τὸ ψήφισμα λαβών. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Χαιρωνίδου Ἡγέμονος ἄρχοντος, Γαμηλιῶνος ἕκτῃ

qu'ils vinrent dans notre ville, vous qui étiez leur hôte. Oui, des gens qu'on avait chassés comme ennemis de la république, comme porteurs de propositions injustes et nuisibles, vous les aviez pour amis. Vous n'avez donc rien avancé que de faux, ô vous qui osez dire, dans vos invectives, que je me tais quand j'ai reçu de l'argent, et que je crie quand je l'ai dépensé; vous, au contraire, vous criez les mains pleines, et vous crierez toujours, si l'on ne vous ferme la bouche, aujourd'hui, par une sentence qui vous diffame.

Lorsqu'on m'a couronné pour les services que je rendis alors, lorsqu'Aristonique a porté un décret conçu dans les mêmes termes que celui de Ctésiphon, lorsque la couronne a été proclamée sur le théâtre, et que pour la seconde fois j'ai reçu cet honneur; quoique Eschine fût présent, il ne s'est point opposé au décret, et n'en a point accusé l'auteur.

Greffier, lisez ce décret.

DÉCRET.

« Sous l'archonte Chéronide, fils d'Hégémon, le vingt-cinq du mois

ἀφικνούμενοι δεῦρο,
κατέλυον παρὰ σοί, Αἰσχίνη·
καὶ σὺ προὐξένεις αὐτῶν,
οὓς ἡ μὲν πόλις ἀπήλασεν
ὡς ἐχθρούς, καὶ λέγοντας
οὔτε δίκαια
οὔτε συμφέροντα
ἦσαν δὲ φίλοι σοί.
Οὐδὲν τοίνυν τούτων
οὐκ ἐπράχθη,
ὦ βλασφημῶν περὶ ἐμοῦ,
καὶ λέγων
ὡς σιωπῶ μὲν λαβών,
βοῶ δὲ ἀναλώσας.
Ἀλλὰ σύ γε οὔ·
ἀλλὰ βοᾷς μὲν ἔχων,
παύσῃ δὲ οὐδέποτε,
ἐὰν οὗτοι μὴ παύσωσί σε,
ἀτιμώσαντες τήμερον.
Ὑμῶν τοίνυν στεφανωσάντων ἐμὲ
ἐπὶ τούτοις τότε,
καὶ Ἀριστονίκου γράψαντος
τὰς αὐτὰς συλλαβάς,
ἅσπερ οὗτοσὶ Κτησιφῶν
γέγραφε νῦν,
καὶ τοῦ στεφάνου ἀναῤῥηθέντος
ἐν τῷ θεάτρῳ,
καὶ τούτου κηρύγματος
γιγνομένου μοι ἤδη δευτέρου,
Αἰσχίνης παρὼν
οὔτε ἀντεῖπεν,
οὔτε ἐγράψατο τὸν εἰπόντα
Καὶ λέγε μοι
καὶ τοῦτο τὸ ψήφισμα,
λαβών. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Χαιρωνίδου Ἡγέμονος
ἄρχοντος,
ἕκτῃ Γαμηλιῶνος ἀπιόντος,

arrivant ici,
dételèrent chez toi, Eschine :
et toi tu étais-l'hôte d'eux,
que la ville a-chassés
comme ennemis, et disant
ni des choses justes
ni des choses utiles;
mais ils étaient amis à toi.
Aucune donc de ces choses
n'a-été-faite,
ô calomniant sur moi,
et disant
que je me tais ayant-reçu,
mais *que* je crie ayant dépensé.
Mais toi certes non :
mais tu cries ayant,
et ne cesseras jamais,
si ceux-ci ne font-cesser toi,
t'ayant-déshonoré aujourd'hui.
Or vous ayant-couronné moi
pour ces choses alors,
et Aristonique ayant-écrit
les mêmes syllabes,
que ce Ctésiphon
a écrites maintenant,
et la couronne ayant-été-proclamée
dans le théâtre,
et cette proclamation
étant à moi déjà la seconde,
Eschine étant-présent
ni *n'*a pas parlé-contre,
ni *n'*a accusé celui ayant-dit.
Et dis à moi
aussi ce décret,
*l'*ayant-pris. Dis.

DÉCRET.

« Sous Chéronide *fils* d'Hégémon
archonte,
le sixième de Gamélion déclinant,

ἀπιόντος, φυλῆς πρυτανευούσης Λεοντίδος, Ἀριστόνικος Φρεάρριος εἶπεν· Ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεὺς πολλὰς καὶ μεγάλας χρείας παρέσχηται τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ πολλοῖς τῶν συμμάχων καὶ πρότερον καὶ ἐν τῷ παρόντι καιρῷ βεβοήθηκε διὰ τῶν ψηφισμάτων, καί τινας τῶν ἐν τῇ Εὐβοίᾳ πόλεων ἠλευθέρωκε, καὶ διατελεῖ εὔνους ὢν τῷ δήμῳ τῶν Ἀθηναίων, καὶ λέγει καὶ πράττει ὅ τι ἂν δύνηται ἀγαθὸν ὑπέρ τε αὐτῶν Ἀθηναίων καὶ τῶν ἄλλων Ἑλλήνων· δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, Διονυσίοις, τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως τοῦ στεφάνου ἐπιμεληθῆναι τὴν πρυτανεύουσαν φυλὴν καὶ τὸν ἀγωνοθέτην. Εἶπεν Ἀριστόνικος Φρεάρριος. »

Ἔστιν οὖν ὅστις ὑμῶν οἶδέ τινα αἰσχύνην συμβᾶσαν τῇ πόλει

Gamélion, sous la présidence de la tribu Léontide, Aristonique de Phréare a dit : Attendu que Démosthène, fils de Démosthène, de Péanée, a rendu de grands et de nombreux services au peuple d'Athènes et à plusieurs de ses alliés; que, par ses décrets, il a été d'une grande utilité autrefois comme aujourd'hui; qu'il a rendu la liberté à plusieurs villes de l'Eubée; qu'il persévère dans son dévouement au peuple d'Athènes, et que, par ses discours et ses actions, il cherche à procurer aux Athéniens et aux autres Grecs le plus grand bien qui est en son pouvoir, il a plu au sénat et au peuple d'Athènes de faire l'éloge de Démosthène, fils de Démosthène, de Péanée, de lui accorder une couronne d'or, et de la faire proclamer au théâtre, aux fêtes de Bacchus, le jour des tragédies nouvelles. Sont chargés de la proclamation la tribu qui préside et le président des jeux publics. Aristonique de Phréare a dit. »

Est-il donc quelqu'un parmi vous qui sache que ce décret ait attiré

φυλῆς Λεοντίδος	la tribu Léontide
πρυτανευούσης,	ayant-la-prytanie,
Ἀριστόνικος Φρεάρριος εἶπεν·	Aristonique de-Phréare a dit :
Ἐπειδὴ Δημοσθένης	Puisque Démosthène
Δημοσθένους Παιανιεὺς	*fils* de Démosthène de-Péanée
παρέσχηται χρείας	a rendu des services
πολλὰς καὶ μεγάλας	nombreux et grands
τῷ δήμῳ τῶν Ἀθηναίων,	au peuple des Athéniens,
καὶ βεβοήθηκε	et a secouru
πολλοῖς τῶν συμμάχων	plusieurs des alliés
καὶ πρότερον	et précédemment
καὶ ἐν τῷ καιρῷ παρόντι	et dans la circonstance présente
διὰ τῶν ψηφισμάτων,	par les décrets,
καὶ ἠλευθέρωκε	et a-rendu-libres
τινὰς τῶν πόλεων	quelques-unes des villes
ἐν τῇ Εὐβοίᾳ,	dans l'Eubée,
καὶ διατελεῖ ὢν εὔνους	et persévère étant bienveillant
τῷ δήμῳ τῶν Ἀθηναίων,	au peuple des Athéniens,
καὶ λέγει καὶ πράττει	et dit et fait
ὅ τι ἂν δύνηται ἀγαθόν,	ce qu'il peut de bon,
ὑπέρ τε Ἀθηναίων αὐτῶν	et pour les Athéniens eux-mêmes,
καὶ τῶν ἄλλων Ἑλλήνων·	et *pour* les autres Grecs;
δεδόχθαι τῇ βουλῇ	avoir-paru-bon au sénat
καὶ τῷ δήμῳ τῶν Ἀθηναίων	et au peuple des Athéniens
ἐπαινέσαι Δημοσθένην	de louer Démosthène
Δημοσθένους Παιανιέα,	*fils* de Démosthène de-Péanée,
καὶ στεφανῶσαι	et de *le* couronner
στεφάνῳ χρυσῷ,	d'une couronne d'-or,
καὶ ἀναγορεῦσαι τὸν στέφανον	et de proclamer la couronne
ἐν τῷ θεάτρῳ,	dans le théâtre,
Διονυσίοις,	aux Dionysiaques,
τραγῳδοῖς καινοῖς·	aux tragédiens nouveaux;
τὴν δὲ φυλὴν πρυτανεύουσαν	et la tribu ayant-la-prytanie
καὶ τὸν ἀγωνοθέτην	et l'agonothète
ἐπιμεληθῆναι	prendre-soin
τῆς ἀναγορεύσεως τοῦ στεφάνου.	de la proclamation de la couronne.
Ἀριστόνικος Φρεάρριος εἶπεν.	Aristonique de-Phréare a dit.
Ἔστιν οὖν ὑμῶν	Est-il donc de vous
ὅστις οἶδέ τινα αἰσχυνὴν	quelqu'un-qui sait quelque honte
συμβᾶσαν τῇ πόλει	étant-arrivée à la ville

διὰ τοῦτο τὸ ψήφισμα, ἢ χλευασμόν, ἢ γέλωτα, ἃ νῦν οὗτος ἔφη συμβήσεσθαι, ἐὰν ἐγὼ στεφανῶμαι; Καὶ μήν, ὅταν ᾖ νέα καὶ γνώριμα πᾶσι τὰ πράγματα, ἐάν τε καλῶς ἔχῃ, χάριτος τυγχάνει, ἐάν θ' ὡς ἑτέρως, τιμωρίας. Φαίνομαι τοίνυν ἐγὼ χάριτος τετυχηκὼς τότε, καὶ οὐ μέμψεως οὐδὲ τιμωρίας.

Οὐκοῦν μέχρι μὲν τῶν χρόνων ἐκείνων, ἐν οἷς ταῦτ' ἐπράχθη, πάντας ἀνωμολόγημαι τοὺς χρόνους τὰ ἄριστα πράττειν τῇ πόλει, τῷ νικᾷν, ὅτ' ἐβουλεύεσθε, λέγων καὶ γράφων, τῷ καταπραχθῆναι τὰ γραφέντα, καὶ στεφάνους ἐξ αὐτῶν τῇ πόλει, καὶ ἐμοί, καὶ πᾶσιν ὑμῖν γενέσθαι, τῷ θυσίας τοῖς θεοῖς καὶ προσόδους, ὡς ἀγαθῶν τούτων ὄντων, ὑμᾶς πεποιῆσθαι.

Ἐπειδὴ τοίνυν ἐκ τῆς Εὐβοίας ὁ Φίλιππος ἐξηλάθη, τοῖς μὲν ὅπλοις, ὑφ' ὑμῶν, τῇ δὲ πολιτείᾳ καὶ τοῖς ψηφίσμασι, κἂν

sur la ville d'Athènes la honte, le mépris et la risée, auxquels elle s'exposera, dit-il, si je suis couronné? Cependant, c'est quand les actions sont récentes et généralement connues, qu'elles trouvent de la reconnaissance, si elles sont louables, et sinon, un châtiment. Or, il est clair que j'ai alors été récompensé, et non blâmé ni puni.

Il est donc avoué de tout le monde que, du moins jusqu'à ce temps, j'ai toujours bien servi la république, puisque mes discours et mes décrets ont toujours prévalu dans vos délibérations; puisque mes décrets se sont exécutés heureusement, qu'ils ont mérité des couronnes à la patrie, à vous tous, et à moi-même; enfin, puisque vous avez fait aux dieux des sacrifices solennels et des prières publiques, comme dans un temps de prospérité.

Après que Philippe, chassé de l'Eubée, se fut retiré, par les armes, devant vous, par la politique et les décrets, dût en périr l'envie, de-

διὰ τοῦτο τὸ ψήφισμα,
ἢ χλευασμόν,
ἢ γέλωτα,
ἃ οὗτος ἔφη
συμβήσεσθαι νῦν,
ἐὰν ἐγὼ στεφανῶμαι;
Καὶ μήν, ὅταν τὰ πράγματα
ᾖ νέα καὶ γνώριμα πᾶσιν,
ἐάν τε ἔχῃ καλῶς,
τυγχάνει χάριτος,
ἐάν τε ὡς ἑτέρως, τιμωρίας.
Ἐγὼ τοίνυν φαίνομαι
τετυχηκὼς χάριτος τότε,
καὶ οὐ μέμψεως
οὐδὲ τιμωρίας.
Οὐκοῦν
μέχρι μὲν ἐκείνων τῶν χρόνων,
ἐν οἷς
ταῦτα ἐπράχθη,
ἀνωμολόγημαι πράττειν
πάντας τοὺς χρόνους
τὰ ἄριστα τῇ πόλει,
τῷ νικᾷν,
ὅτε ἐβουλεύεσθε,
λέγων καὶ γράφων,
τῷ τὰ γραφέντα
καταπραχθῆναι,
καὶ στεφάνους γενέσθαι
ἐξ αὐτῶν
τῇ πόλει, καὶ ἐμοί,
καὶ ὑμῖν πᾶσι,
τῷ ὑμᾶς πεποιῆσθαι
θυσίας τοῖς θεοῖς
καὶ προσόδους,
ὡς τούτων ὄντων ἀγαθῶν.
Ἐπειδὴ τοίνυν ὁ Φίλιππος
ἐξηλάθη ἐκ τῆς Εὐβοίας,
τοῖς μὲν ὅπλοις, ὑπὸ ὑμῶν,
τῇ δὲ πολιτείᾳ
καὶ τοῖς ψηφίσμασιν, ὑπὸ ἐμοῦ,

à-cause-de ce décret,
ou *quelque* raillerie,
ou *quelque* risée,
choses que celui-ci a dit
devoir-arriver maintenant,
si moi je suis-couronné?
Et cependant, lorsque les choses
sont récentes et connues de tous,
et si elles sont bien,
elles obtiennent reconnaissance,
et si autrement, punition.
Moi donc je parais
ayant-obtenu reconnaissance alors,
et non blâme
ni punition.
En-conséquence
jusques à ces temps,
dans lesquels
ces choses furent-faites,
j'ai-été-avoué faire
dans tous les temps
les choses les meilleures pour la ville,
par le vaincre,
lorsque vous délibériez,
parlant et écrivant,
par le les choses ayant-été-écrites
avoir-été-exécutées,
et des couronnes être-arrivées
par-suite d'elles
à la ville, et à moi,
et à vous tous,
par le vous avoir-fait
des sacrifices aux dieux
et des processions,
comme ces choses étant bonnes.
Donc après-que Philippe
eut-été-chassé de l'Eubée,
par les armes, par vous,
mais *par* l'administration
et les décrets, par moi,

διαῤῥαγῶσί τινες τούτων, ὑπ' ἐμοῦ, ἕτερον κατὰ τῆς πόλεως ἐπιτειχισμὸν ἐζήτει. Ὁρῶν δ' ὅτι σίτῳ πάντων ἀνθρώπων πλείστῳ χρώμεθ' ἐπεισάκτῳ, βουλόμενος τῆς σιτοπομπείας κύριος γενέσθαι, παρελθὼν ἐπὶ Θρᾴκης, Βυζαντίους, συμμάχους ὄντας αὐτῷ, τὸ μὲν πρῶτον ἠξίου συμπολεμεῖν τὸν πρὸς ὑμᾶς πόλεμον· ὡς δ' οὐκ ἤθελον οὐδ' ἐπὶ τούτοις ἔφασαν τὴν συμμαχίαν πεποιῆσθαι, λέγοντες ἀληθῆ, χαράκωμα βαλόμενος πρὸς τῇ πόλει καὶ μηχανήματ' ἐπιστήσας, ἐπολιόρκει. Τούτων δὲ γιγνομένων, ὅ τι μὲν προσῆκε ποιεῖν ἡμᾶς, οὐκέτ' ἐρωτήσω· δῆλον γάρ ἐστιν ἅπασιν. Ἀλλὰ τίς ἦν ὁ βοηθήσας τοῖς Βυζαντίοις, καὶ σώσας αὐτούς; τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον ἀπαλλοτριωθῆναι κατ' ἐκείνους τοὺς χρόνους; ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι. Τὸ δ' ὑμεῖς ὅταν εἴπω, τὴν πόλιν λέγω. Τίς δ' ὁ τῇ πόλει λέγων, καὶ γράφων, καὶ πράττων, καὶ ἁπλῶς ἑαυτὸν εἰς τὰ πράγματα ἀφειδῶς διδούς; ἐγώ.

vant moi, il dressa contre Athènes de nouvelles batteries. Comme il voyait que nous consommions plus de grains étrangers que tout autre peuple, voulant se rendre maître du transport, il se jette dans la Thrace, et engage d'abord les Byzantins, ses alliés, à se joindre à lui contre nous; mais comme ils refusaient et disaient avec raison que le traité ne les y obligeait point, il entoure leur ville de retranchements, fait avancer ses machines, et commence le siége. Ce qu'on devait faire dans cette conjoncture, je ne le demanderai pas, la chose est trop évidente. Qui donc a secouru les Byzantins, et les a sauvés du péril? qui a empêché l'Hellespont de passer alors sous une autre domination? Vous, Athéniens: quand je dis vous, je dis la république. Mais quel était celui qui parlait, qui proposait, qui agissait pour l'État, qui se donnait tout entier et sans réserve à ses affaires? Moi.

καί τινες τούτων	même quelques-uns de ceux-ci
ἂν διαῤῥαγῶσιν,	dûssent-ils-crever,
ἐζήτει ἕτερον ἐπιτειχισμὸν	il cherchait un autre rempart
κατὰ τῆς πόλεως.	contre la ville.
Ὁρῶν δὲ ὅτι χρώμεθα	Or voyant que nous nous servons
σίτῳ ἐπεισάκτῳ	de blé importé
πλείστῳ πάντων ἀνθρώπων,	le-plus-copieux de tous les hommes,
βουλόμενος γενέσθαι κύριος	voulant devenir maître
τῆς σιτοπομπείας,	du transport-du-blé,
παρελθὼν ἐπὶ Θρᾴκης,	étant-passé en Thrace,
ἠξίου μὲν τὸ πρῶτον Βυζαντίους,	il pria d'abord les Byzantins,
ὄντας συμμάχους αὐτῷ,	étant alliés à lui,
συμπολεμεῖν τὸν πόλεμον	de faire-avec *lui* la guerre
πρὸς ὑμᾶς·	contre vous;
ὡς δὲ οὐκ ἤθελον,	mais comme ils ne voulaient pas,
ἔφασαν δὲ	mais disaient
οὐ πεποιῆσθαι τὴν συμμαχίαν	ne pas avoir-fait l'alliance
ἐπὶ τούτοις,	pour ces choses,
λέγοντες ἀληθῆ,	disant des choses vraies,
βαλόμενος χαράκωμα	ayant-jeté un retranchement
πρὸς τῇ πόλει	devant la ville
καὶ ἐπιστήσας μηχανήματα,	et ayant-placé-auprès des machines,
ἐπολιόρκει.	il assiégeait.
Οὐ δὲ ἐρωτήσω ἔτι	Or je ne demanderai plus
ὅ τι μὲν προσῆκεν ἡμᾶς ποιεῖν,	ce qu'il convenait nous faire,
τούτων γιγνομένων·	ces choses ayant-lieu;
ἔστι γὰρ δῆλον ἅπασιν.	car *cela* est évident *pour* tous.
Ἀλλὰ τίς ἦν	Mais qui était
ὁ βοηθήσας τοῖς Βυζαντίοις,	celui ayant-secouru les Byzantins,
καὶ σώσας αὐτούς;	et ayant-sauvé eux?
τίς ὁ κωλύσας τὸν Ἑλλήσποντον	qui celui ayant-empêché l'Hellespont
ἀπαλλοτριωθῆναι	d'avoir-été-aliéné
κατὰ ἐκείνους τοὺς χρόνους;	dans ces temps?
ὑμεῖς, ὦ ἄνδρες Ἀθηναῖοι.	vous, ô hommes Athéniens.
Ὅταν δὲ εἴπω τὸ ὑμεῖς,	Or lorsque je dis le vous,
λέγω τὴν πόλιν.	je dis la ville.
Τίς δὲ ὁ λέγων τῇ πόλει,	Et qui celui parlant *pour* la ville,
καὶ γράφων, καὶ πράττων, καὶ ἁπλῶς	et écrivant, et agissant, et absolument
διδοὺς ἑαυτὸν ἀφειδῶς	donnant lui-même sans-ménagement
εἰς τὰ πράγματα; ἐγώ.	pour les affaires? moi

Ἀλλὰ μήν, ἡλίκα ταῦτα ὠφέλησεν ἅπαντας, οὐκέτ' ἐκ λόγου δεῖ μαθεῖν ὑμᾶς, ἀλλ' ἔργῳ πεπείρασθε. Ὁ γὰρ τότε ἐνστὰς πόλεμος, ἄνευ τοῦ καλὴν δόξαν ἐνεγκεῖν, ἐν πᾶσι τοῖς κατὰ τὸν βίον ἀφθονωτέροις καὶ εὐωνοτέροις διήγαγεν ὑμᾶς τῆς νῦν εἰρήνης, ἣν οὗτοι κατὰ τῆς πατρίδος τηροῦσιν οἱ χρηστοί, ἐπὶ ταῖς μελλούσαις ἐλπίσιν· ὧν διαμάρτοιεν, καὶ μὴ μετάσχοιεν ὧν ὑμεῖς, οἱ τὰ βέλτιστα βουλόμενοι, τοὺς θεοὺς αἰτεῖτε, μηδὲ μεταδοῖεν ὑμῖν ὧν αὐτοὶ προήρηνται.

Λέγε δ' αὐτοῖς καὶ τοὺς τῶν Βυζαντίων στεφάνους, καὶ τοὺς τῶν Περινθίων, οἷς ἐστεφάνουν ἐκ τούτων τὴν πόλιν.

ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ.

Ἐπὶ ἱερομνάμονος Βοσπορίχω, Δαμάγητος ἐν τᾷ ἁλίᾳ ἔλεξεν, ἐκ τᾶς βωλᾶς λαβὼν ῥήτραν· Ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων ἔν τε τοῖς προγενομένοις καιροῖς εὐνοέων διατελεῖ Βυζαντίοις, καὶ τοῖς συμμάχοις, καὶ συγγενέσι Περινθίοις, καὶ πολλὰς καὶ με-

Combien mes efforts ont été utiles à tous, il n'est pas besoin de paroles pour vous le faire connaître; vous l'avez senti par les effets. Outre la gloire qui vous revint de la guerre d'alors, cette même guerre vous procura des vivres en plus grande abondance et à plus bas prix que la paix actuelle, cette paix que nos honnêtes citoyens cherchent à conserver au préjudice de la patrie, parce qu'ils se flattent d'y trouver leur avantage. Puissent-ils être frustrés de leurs espérances, sans pouvoir jouir de ces biens que vous, citoyens zélés, vous demandez aux dieux, sans vous associer au sort qu'ils ont choisi!

Greffier, lisez le décret par lequel les Byzantins et les Périnthiens ont, à la suite de ces événements, décerné des couronnes au peuple d'Athènes.

DÉCRET DES BYZANTINS.

« Sous le pontife Bosporichus, Démagète ayant obtenu du sénat la liberté de parler, a dit dans l'assemblée : Attendu que le peuple d'Athènes n'a cessé, dans les temps antérieurs, de manifester sa bienveillance envers nous, envers nos alliés, et envers les Périnthiens nos

Ἀλλὰ μὴν οὐ δεῖ ἔτι	Mais certes il ne faut plus
ὑμᾶς μαθεῖν ἐκ λόγου	vous apprendre d'après le discours
ἡλίκα	*en* combien-grandes choses
ταῦτα ὠφέλησεν ἅπαντας,	ces *actions* ont-été-utiles à tous,
ἀλλὰ πεπείρασθε ἔργῳ.	mais vous *l'*avez éprouvé *par* le fait
Ὁ γὰρ πόλεμος ἐνστὰς τότε,	Car la guerre s'étant-élevée alors,
ἄνευ τοῦ ἐνεγκεῖν	outre le avoir-rapporté
δόξαν καλήν,	une gloire belle,
διήγαγεν ὑμᾶς	a entretenu vous
ἐν πᾶσι τοῖς	dans toutes les choses
κατὰ τὸν βίον	concernant la vie
ἀφθονωτέροις	plus-abondantes
καὶ εὐωνοτέροις	et plus-aisément-achetées
τῆς εἰρήνης νῦν,	*que* la paix maintenant,
ἣν οὗτοι οἱ χρηστοὶ	laquelle ceux-ci les honnêtes
τηροῦσι κατὰ τῆς πατρίδος,	gardent contre la patrie,
ἐπὶ ταῖς ἐλπίσι μελλούσαις·	pour les espérances devant-être;
ὧν διαμάρτοιεν,	desquelles *qu'*ils soient-frustrés,
καὶ μὴ μετάσχοιεν	et ne participent pas
ὧν ὑμεῖς,	*aux choses* que vous,
οἱ βουλόμενοι τὰ βέλτιστα,	ceux voulant les meilleures,
αἰτεῖτε τοὺς θεούς,	vous demandez aux dieux,
μηδὲ μεταδοῖεν ὑμῖν	ni *ne* donnent-participation à vous
ὧν αὐτοὶ προήρηνται.	*des choses* qu'eux-mêmes ont préférées.
Λέγε δὲ αὐτοῖς	Mais dis à eux
καὶ τοὺς στεφάνους τῶν Βυζαντίων,	et les couronnes des Byzantins,
καὶ τοὺς τῶν Περινθίων,	et celles des Périnthiens,
οἷς ἐστεφάνουν τὴν πόλιν	desquelles ils couronnaient la ville
ἐκ τούτων.	d'après ces choses.

ΨΗΦΙΣΜΑ ΒΥΖΑΝΤΙΩΝ.

Ἐπὶ Βοσπορίχω ἱερομνάμονος[47],	« Sous Bosporichus grand-prêtre,
Δαμάγητος ἔλεξεν ἐν τᾷ ἁλίᾳ,	Démagète a dit dans l'assemblée,
λαβὼν ῥήτραν	ayant-reçu la parole
ἐκ τᾶς βωλᾶς·	du sénat :
ἐπειδὴ ὁ δᾶμος ὁ Ἀθηναίων	Puisque le peuple celui des Athéniens
ἔν τε τοῖς καιροῖς	et dans les circonstances
προγενομένοις	ayant-eu-lieu-auparavant
διατελεῖ εὐνοέων	persévère étant-bienveillant
Βυζαντίοις, καὶ τοῖς συμμάχοις,	*pour* les Byzantins, et les alliés,

γάλας χρείας παρέσχηται ἔν τε τῷ παρεστακότι καιρῷ, Φιλίππω τῷ Μακεδόνος ἐπιστρατεύσαντος ἐπὶ τὰν χώραν καὶ τὰν πόλιν ἐπ' ἀναστάσει Βυζαντίων καὶ Περινθίων, καὶ τὰν χώραν δαίοντος καὶ δενδροκοπέοντος, βοηθήσας πλοίοισιν ἑκατὸν καὶ εἴκοσι, καὶ σίτῳ, καὶ βέλεσι, καὶ ὁπλίταις, ἐξείλετο ἄμμε ἐκ τῶν μεγάλων κινδύνων, καὶ ἀποκατέστασε τὰν πάτριον πολιτείαν, καὶ τὼς νόμως, καὶ τὼς τάφως· δεδόχθαι τῷ δάμῳ, τῷ Βυζαντίων καὶ Περινθίων, Ἀθηναίοις δόμεν ἐπιγαμίαν, πολιτείαν, ἔγκτασιν γᾶς καὶ οἰκιᾶν, προεδρίαν ἐν τοῖς ἀγῶσι, πόθοδον ποτὶ τὰν βωλὰν καὶ τὸν δᾶμον, πράτοις μετὰ τὰ ἱερά, καὶ τοῖς κατοικεῖν ἐθέλουσι τὰν πόλιν, ἀλειτουργήτοις ἦμεν πασᾶν τᾶν λειτουργιᾶν· στᾶσαι δὲ καὶ εἰκόνας τρεῖς ἑκκαιδεκαπήχεις ἐν τῷ Βοσπορίκῳ, στεφανούμενον τὸν δᾶμον τῶν Ἀθηναίων ὑπὸ τῷ δάμω τῶν Βυζαντίων καὶ Περινθίων· ἀποστεῖλαι δὲ καὶ θεωρίας ἐς

parents, qu'il nous a rendu de grands et d'innombrables services, et que, dans les circonstances actuelles, lorsque Philippe, cherchant à nous asservir, ainsi que les Périnthiens, attaquait notre pays et notre ville, qu'il incendiait nos champs et abattait nos plantations, ce même peuple nous a fourni cent vingt vaisseaux, des vivres, des armes et des soldats, qu'il nous a tirés des plus grands périls, et qu'il a rétabli l'ancienne forme de notre gouvernement, nos lois et nos tombeaux; il a plu au peuple de Byzance et à celui de Périnthe de donner aux Athéniens le droit de cité, le droit de se marier dans notre pays, et celui d'y acquérir des terres et des habitations; de leur accorder les premières places aux jeux publics, le droit d'entrer les premiers au sénat et dans l'assemblée du peuple, après les sacrifices, et l'exemption de toutes charges pour ceux d'entre eux qui voudront habiter parmi nous; il a plu, en outre, de leur ériger dans le Bosphore trois statues de seize coudées chacune, représentant le peuple d'Athènes couronné par celui de Byzance et par celui de Périnthe; de plus,

καὶ Περινθίοις συγγενέσιν,	et les Périnthiens de-la-même-race,
ἔν τε τῷ καιρῷ	et dans la circonstance
παρεστακότι	se-tenant-présente
παρέσχηται χρείας	a rendu des services
καὶ πολλὰς καὶ μεγάλας,	et nombreux et grands,
Φιλίππω τῷ Μακεδόνος	Philippe le Macédonien
ἐπιστρατεύσαντος	ayant-fait-une-expédition
ἐπὶ τὰν χώραν καὶ τὰν πόλιν	contre le pays et la ville
ἐπὶ ἀναστάσει	pour la destruction
Βυζαντίων καὶ Περινθίων,	des Byzantins et des Périnthiens,
καὶ δαίοντος τὰν χώραν	et brûlant le pays
καὶ δενδροκοπέοντος, βοηθήσας	et coupant-les-arbres, ayant-secouru
ἑκατὸν καὶ εἴκοσι πλοίοισι,	de cent et vingt navires,
καὶ σίτῳ, καὶ βέλεσι,	et de blé, et d'armes,
καὶ ὁπλίταις[48],	et d'hoplites,
ἐξείλετο ἄμμε	a retiré nous
ἐκ τῶν μεγάλων κινδύνων,	de grands dangers,
καὶ ἀποκατέστασε	et a rétabli
τὰν πολιτείαν πάτριον,	le gouvernement paternel,
καὶ τὼς νόμως, καὶ τὼς τάφως·	et les lois, et les tombeaux;
δεδόχθαι τῷ δάμῳ,	avoir-paru-bon au peuple,
τῷ Βυζαντίων καὶ Περινθίων,	celui des Byzantins et des Périnthiens,
δόμεν Ἀθηναίοις	de donner aux Athéniens
ἐπιγαμίαν, πολιτείαν,	droit-de-mariage, droit-de-cité,
ἔγκτασιν	droit-d'acquisition
γᾶς καὶ οἰκιᾶν,	de terre et de maisons,
προεδρίαν ἐν τοῖς ἀγῶσι,	préséance dans les jeux-publics,
πόθοδον ποτὶ τὰν βωλὰν	accès vers le sénat
καὶ τὸν δᾶμον,	et le peuple,
πράτοις μετὰ τὰ ἱερά,	les premiers après les sacrifices,
καὶ τοῖς ἐθέλουσι	et à ceux voulant
κατοικεῖν τὰν πόλιν,	habiter la ville,
ἦμεν ἀλειτουργήτοις	d'être exempts
πασᾶν τᾶν λειτουργιᾶν·	de toutes les charges-publiques;
στᾶσαι δὲ καὶ	et de dresser aussi
τρεῖς εἰκόνας ἑκκαιδεκαπήχεις	trois statues de-seize-coudées
ἐν τῷ Βοσπορίκῳ,	dans le Bosphore,
τὸν δᾶμον τῶν Ἀθηναίων	le peuple des Athéniens
στεφανούμενον ὑπὸ τῷ δάμω	étant-couronné par le peuple
τῶν Βυζαντίων καὶ Περινθίων	des Byzantins et des Périnthiens:

τὰς ἐν τῇ Ἑλλάδι πανηγύριας, Ἴσθμια, καὶ Νέμεα, καὶ Ὀλύμπια, καὶ Πύθια, καὶ ἀνακαρύξαι τὼς στεφάνως, ὧς ἐστεφάνωται ὁ δᾶμος ὁ Ἀθηναίων ὑφ' ἡμῶν, ὅπως ἐπιστέωνται οἱ Ἕλλανες πάντες Ἀθηναίων ἀρετάν, καὶ τὰν Βυζαντίων καὶ Περινθίων εὐχαριστίαν. »

Λέγε καὶ τοὺς παρὰ τῶν ἐν Χερρονήσῳ στεφάνους.

ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ.

« Χερρονησιτῶν οἱ κατοικοῦντες Σηστόν, Ἐλεοῦντα, Μάδυτον, Ἀλωπεκόννησον, στεφανοῦσιν Ἀθηναίων τὴν βουλὴν καὶ τὸν δῆμον χρυσῷ στεφάνῳ ἀπὸ ταλάντων ἑξήκοντα· καὶ Χάριτος βωμὸν ἱδρύονται καὶ δήμου Ἀθηναίων, ὅτι πάντων μεγίστου ἀγαθῶν παραίτιος γέγονε Χερρονησίταις, ἐξελόμενος ἐκ τῆς Φιλίππου καὶ ἀποδοὺς τὰς πατρίδας, τοὺς νόμους, τὴν ἐλευθερίαν, τὰ ἱερά. Καὶ ἐν τῷ μετὰ ταῦτα αἰῶνι παντὶ οὐκ ἐλλείψει εὐχαριστῶν, καὶ ποιῶν ὅ τι ἂν δύνηται ἀγαθόν. Ταῦτα ἐψηφίσαντο ἐν κοινῷ βουλευτηρίῳ. »

d'envoyer des députations aux grandes fêtes de la Grèce, aux jeux Isthmiques, Néméens, Olympiques et Pythiques; d'y faire proclamer la couronne que nous décernons au peuple d'Athènes, afin que tous les Grecs connaissent et la générosité de ce peuple, et la reconnaissance des habitants de Byzance et de Périnthe. »

Lisez aussi le décret par lequel les peuples de la Chersonèse nous ont décerné des couronnes.

DÉCRET DES CHERSONÉSIENS.

« Les peuples de la Chersonèse qui habitent Seste, Éléonte, Madyte, Alopéconèse, décernent au sénat et au peuple d'Athènes une couronne d'or du prix de soixante talents; ils érigent deux autels, l'un à la Reconnaissance, l'autre au peuple d'Athènes, parce qu'il a rendu les plus grands services aux habitants de la Chersonèse, en les délivrant de l'injuste oppression de Philippe, en leur faisant restituer leur patrie, leurs lois, leur liberté et leur religion. Les habitants de la Chersonèse ne cesseront de se montrer reconnaissants envers les Athéniens, et de leur rendre tous les services qui seront en leur pouvoir. C'est ce qu'ils ont décrété au conseil général. »

ἀποστεῖλαι δὲ καὶ θεωρίας [49]	et d'envoyer aussi des théorie
ἐς τὰς πανηγύριας	dans les assemblées-universelles
ἐν τῇ Ἑλλάδι,	dans la Grèce,
Ἴσθμια, καὶ Νέμεα,	aux *jeux* Isthmiques, et Néméens
καὶ Ὀλύμπια, καὶ Πύθια,	et Olympiques, et Pythiques,
καὶ ἀνακαρύξαι τὼς στεφάνως,	et de proclamer les couronnes,
ὧς ὁ δᾶμος ὁ Ἀθηναίων	dont le peuple celui des Athéniens
ἐστεφάνωται ὑπὸ ἡμῶν,	a-été-couronné par nous,
ὅπως πάντες οἱ Ἕλλανες	afin que tous les Grecs
ἐπιστέωνται ἀρετὰν Ἀθηναίων,	sachent la vertu des Athéniens,
καὶ τὰν εὐχαριστίαν	et la reconnaissance
Βυζαντίων καὶ Περινθίων. »	des Byzantins et des Périnthiens. »
Λέγε καὶ τοὺς στεφάνους	Dis encore les couronnes
παρὰ τῶν ἐν Χερρονήσῳ.	de-la-part de ceux dans la Chersonèse
ΨΗΦΙΣΜΑ ΧΕΡΡΟΝΗΣΙΤΩΝ.	**DÉCRET DES CHERSONÉSIENS**
« Χερρονησιτῶν	« Des Chersonésiens
οἱ κατοικοῦντες Σηστόν,	ceux habitant Seste,
Ἐλεοῦντα, Μάδυτον,	Éléonte, Madyte,
Ἀλωπεκόννησον [50],	Alopéconèse,
στεφανοῦσι τὴν βουλὴν	couronnent le sénat
καὶ τὸν δῆμον Ἀθηναίων	et le peuple des Athéniens
στεφάνῳ χρυσῷ	d'une couronne d'-or
ἀπὸ ἑξήκοντα ταλάντων·	de soixante talents;
καὶ ἱδρύονται	et fondent
βωμὸν Χάριτος	un autel de la Reconnaissance
καὶ δήμου Ἀθηναίων,	et du peuple des Athéniens,
ὅτι γέγονε	parce-qu'il a été
Χερρονησίταις	*pour* les Chersonésiens
παραίτιος μεγίστου πάντων ἀγαθῶν,	cause du plus grand de tous les biens,
ἐξελόμενος ἐκ τῆς Φιλίππου	ayant-retiré de la *main* de Philippe
καὶ ἀποδοὺς τὰς πατρίδας,	et ayant-rendu les patries,
τοὺς νόμους, τὴν ἐλευθερίαν,	les lois, la liberté,
τὰ ἱερά.	les choses sacrées.
Καὶ ἐν παντὶ τῷ αἰῶνι	Et dans toute la durée
μετὰ ταῦτα, οὐκ ἐλλείψει	après ces *services*, il ne manquera pas
εὐχαριστῶν, καὶ ποιῶν	étant-reconnaissant, et faisant
ὅ τι ἂν δύνηται ἀγαθόν.	ce qu'il pourra de bon.
Ἐψηφίσαντο ταῦτα	Ils ont décrété ces choses
ἐν βουλευτηρίῳ κοινῷ. »	dans un conseil commun. »

Οὐκοῦν οὐ μόνον τὸ Χερρόνησον καὶ Βυζάντιον σῶσαι, οὐδὲ τὸ κωλῦσαι τὸν Ἑλλήσποντον ὑπὸ Φιλίππῳ γενέσθαι τότε, οὐδὲ τὸ τιμᾶσθαι τὴν πόλιν ἐκ τούτων, ἡ προαίρεσις ἡ ἐμὴ καὶ ἡ πολιτεία διεπράξατο, ἀλλὰ καὶ πᾶσιν ἀνθρώποις ἔδειξε τήν τε τῆς πόλεως καλοκαγαθίαν καὶ τὴν Φιλίππου κακίαν. Ὁ μέν γε φίλος καὶ σύμμαχος ὢν τοῖς Βυζαντίοις, πολιορκῶν αὐτοὺς ἑωρᾶτο ὑπὸ πάντων· οὗ τί γένοιτ' ἂν αἴσχιον ἢ μιαρώτερον; Ὑμεῖς δ', οἱ καὶ μεμψάμενοι πολλὰ καὶ δίκαια ἂν ἐκείνοις εἰκότως περὶ ὧν ἠγνωμονήκεσαν εἰς ὑμᾶς ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐ μόνον οὐ μνησικακοῦντες, οὐδὲ προϊέμενοι τοὺς ἀδικουμένους, ἀλλὰ καὶ σώζοντες ἐφαίνεσθε· ἐξ ὧν δόξαν, εὔνοιαν, τιμὴν παρὰ πάντων ἐκτᾶσθε. Καὶ μήν, ὅτι πολλοὺς μὲν ἐστεφανώκατ' ἤδη τῶν πεπολιτευμένων, ἅπαντες ἴσασι· δι' ὅντινα δ' ἄλλον ἡ πόλις ἐστε-

Ainsi, par la sagesse et la vigueur de ma politique, non-seulement j'ai sauvé la Chersonèse et Byzance, non-seulement j'ai empêché que l'Hellespont ne fût assujetti au roi de Macédoine, non-seulement j'ai procuré des honneurs à la république, mais encore j'ai exposé aux yeux de tous les Grecs la générosité des Athéniens et la méchanceté de Philippe. Lui qui était l'ami et l'allié des Byzantins, les a assiégés, aux yeux de tous, trahison la plus honteuse et la plus horrible; et vous, Athéniens, qui aviez contre eux bien des plaintes légitimes, bien des griefs à leur reprocher dans le passé, on vous a vus, je ne dis pas oublier toute injure, mais sauver des ingrats qu'on attaquait, et gagner, par ce procédé généreux, l'estime, l'amitié, la considération de tous les Grecs. Personne n'ignore que la république a couronné, avant moi, plusieurs de ceux qui la dirigeaient; mais on ne pourrait en

Οὐκοῦν ἡ προαίρεσις ἡ ἐμή,	Donc le système le mien,
καὶ ἡ πολιτεία	et l'administration *mienne*
διεπράξατο οὐ μόνον	accomplit non seulement
τὸ σῶσαι Χερρόνησον	le avoir-sauvé la Chersonèse
καὶ Βυζάντιον,	et Byzance,
οὐδὲ τὸ κωλῦσαι	ni le avoir-empêché
τὸν Ἑλλήσποντον	l'Hellespont
γενέσθαι τότε	être-devenu alors
ὑπὸ Φιλίππῳ,	sous Philippe,
οὐδὲ τὸ τὴν πόλιν τιμᾶσθαι	ni le la ville être-honorée
ἐκ τούτων,	d'après ces choses,
ἀλλὰ καὶ ἔδειξε	mais encore montra
πᾶσιν ἀνθρώποις	à tous les hommes
τήν τε καλοκαγαθίαν	et la probité
τῆς πόλεως,	de la ville,
καὶ τὴν κακίαν Φιλίππου.	et la méchanceté de Philippe.
Ὁ μέν γε ὢν φίλος	Lui certes étant ami
καὶ σύμμαχος τοῖς Βυζαντίοις,	et allié aux Byzantins,
ἑωρᾶτο ὑπὸ πάντων	a-été-vu par tous
πολιορκῶν αὐτούς·	assiégeant eux;
οὗ τί ἂν γένοιτο	*que* laquelle chose quoi serait
αἴσχιον ἢ μιαρώτερον;	plus-honteux ou plus-criminel?
Ὑμεῖς δέ,	Mais vous,
οἱ καὶ ἂν μεμψάμενοι	ceux aussi ayant-pu-reprocher
ἐκείνοις εἰκότως	à ceux-là avec-raison
πολλὰ καὶ δίκαια[51]	des choses nombreuses et justes
περὶ ὧν	sur *les choses dans* lesquelles
ἠγνωμονήκεσαν εἰς ὑμᾶς	ils avaient-agi-sans-justice envers vou
ἐν τοῖς χρόνοις ἔμπροσθεν,	dans les temps auparavant,
ἐφαίνεσθε οὐ μόνον	vous vous-êtes-montrés non seulement
οὐ μνησικακοῦντες,	ne vous-souvenant-pas-du-mal,
οὐδὲ προϊέμενοι	et n'abandonnant pas
τοὺς ἀδικουμένους,	ceux étant-traités-injustement,
ἀλλὰ καὶ σώζοντες·	mais encore *les* sauvant;
ἐξ ὧν	d'après lesquelles choses
ἐκτᾶσθε παρὰ πάντων	vous avez acquis de-la-part de tous
δόξαν, εὔνοιαν, τιμήν.	estime, bienveillance, honneur.
Καὶ μὴν ἅπαντες ἴσασιν	Et certes tous savent
ὅτι ἐστεφανώκατε μὲν ἤδη	que vous avez couronné déjà
πολλοὺς τῶν πεπολιτευμένων·	plusieurs de ceux ayant-administré;

φάνωται, σύμβουλον λέγω καὶ ῥήτορα, πλὴν δι' ἐμέ, οὐδ' ἂν εἷς εἰπεῖν ἔχοι.

Ἵνα τοίνυν καὶ τὰς βλασφημίας, ἃς κατὰ τῶν Εὐβοέων καὶ τῶν Βυζαντίων ἐποιήσατο, εἴ τι δυσχερὲς αὐτοῖς ἐπέπρακτο πρὸς ὑμᾶς ὑπομιμνήσκων, συκοφαντίας οὔσας ἐπιδείξω, μὴ μόνον τῷ ψευδεῖς εἶναι (τοῦτο μὲν γὰρ ὑπάρχειν ὑμᾶς εἰδότας ἡγοῦμαι), ἀλλὰ καὶ τῷ, εἰ τὰ μάλιστ' ἦσαν ἀληθεῖς, οὕτως, ὡς ἐγὼ κέχρημαι, τοῖς πράγμασι συμφέρειν χρήσασθαι, ἓν ἢ δύο βούλομαι τῶν καθ' ὑμᾶς πεπραγμένων καλῶν τῇ πόλει διεξελθεῖν, καὶ ταῦτ' ἐν βραχέσι. Καὶ γὰρ ἄνδρα ἰδίᾳ, καὶ πόλιν κοινῇ, πρὸς τὰ κάλλιστα τῶν ὑπαρχόντων ἀεὶ δεῖ τὰ λοιπὰ πειρᾶσθαι πράττειν.

Ὑμεῖς τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, Λακεδαιμονίων γῆς καὶ θαλάττης ἀρχόντων, καὶ τὰ κύκλῳ τῆς Ἀττικῆς κατεχόντων ἁρμοσταῖς καὶ φρουραῖς, Εὔβοιαν, Τάναγραν, τὴν Βοιωτίαν

nommer aucun, je dis un conseiller du peuple et un orateur, qui ait fait couronner la république.

Mais pour vous convaincre que les reproches qu'Eschine a faits aux Eubéens et aux Byzantins, en rappelant toutes les circonstances où ils auraient pu vous blesser, ne sont autre chose qu'une odieuse délation, non-seulement parce qu'ils sont faux (comme sans doute personne ne l'ignore), mais parce que, fussent-ils véritables, on devait tenir envers ces peuples la conduite que j'ai tenue; je vais rapporter en peu de mots un ou deux traits à la gloire de la république d'Athènes : car une république, ainsi qu'un particulier, doit toujours se régler sur les grands exemples qu'elle a devant les yeux.

et aux Dionysiaques,
aux tragédiens nouveaux ;
et les thesmothètes, les prytanes,
les agonothètes prendre-soin
de la proclamation. »
Chacun de ceux-ci, Eschine,
était comptable
de la charge qu'il gérait,
mais non comptable
des choses pour lesquelles
il était-couronné.
Donc ni moi.
Car les mêmes choses certes
*qu'*aux autres
sont justes *pour* moi
sur les mêmes choses.
J'ai donné,
et je suis-loué pour ces choses,
n'étant pas comptable
des choses que j'ai données;
je gérais, et j'ai donné certes

ἐπέδωκα, νὴ Δία. Ἀλλ' ἀδίκως ἦρξα· εἶτα παρών, ὅτε με εἰςῆγον οἱ λογισταί, οὐ κατηγόρεις;

Ἵνα τοίνυν εἰδῆτε ὅτι αὐτὸς οὗτός μοι μαρτυρεῖ, ἐφ' οἷς οὐχ ὑπεύθυνος ἦν, ἐστεφανῶσθαι, λαβὼν ἀνάγνωθι τὸ ψήφισμα ὅλον τὸ γραφέν μοι. Οἷς γὰρ οὐκ ἐγράψατο τοῦ προβουλεύματος, τούτοις ἃ διώκει συκοφαντῶν φανήσεται. Λέγε.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Εὐθυκλέους, Πυανεψιῶνος ἐνάτῃ ἀπιόντος, φυλῆς πρυτανευούσης Οἰνηΐδος, Κτησιφῶν Λεωσθένους Ἀναφλύστιος εἶπεν· Ἐπειδὴ Δημοσθένης Δημοσθένους Παιανιεύς, γενόμενος ἐπιμελητὴς τῆς τῶν τειχῶν ἐπισκευῆς, καὶ προσαναλώσας εἰς τὰ ἔργα ἀπὸ τῆς ἰδίας οὐσίας τρία τάλαντα, ἐπέδωκε ταῦτα τῷ δήμῳ, καὶ ἐπὶ τοῦ θεωρικοῦ κατασταθείς,

pourquoi ne m'accusiez-vous pas, vous qui étiez présent, quand je rendais mes comptes?

Pour vous convaincre, Athéniens, par son propre témoignage, que j'étais couronné pour des actions dont je n'étais pas comptable, on va prendre le décret porté en ma faveur, et le lire en entier. Par les articles de ce décret qu'il n'attaque point, on verra clairement ses impostures par rapport à ceux qu'il attaque. Lisez, greffier.

DÉCRET.

« Sous l'archonte Euthyclès, le vingt-deux du mois Pyanepsion, pendant la présidence de la tribu Œnéide, Ctésiphon, fils de Léosthène, d'Anaphlyste, a dit : Attendu que Démosthène, fils de Démosthène, de Péanée, chargé de la réparation des murs, a dépensé trois talents de son propre bien, dont il a fait présent au peuple, et que,

εὐθύνας ἐκείνων,	des comptes de ces choses,
οὐχ ὧν ἐπέδωκα,	non *de celles* que j'ai données,
νὴ Δία.	par Jupiter.
Ἀλλὰ ἦρξα ἀδίκως·	Mais j'ai géré injustement;
εἶτα παρών,	eh bien étant-présent,
ὅτε λογισταὶ	quand les vérificateurs-des-comptes
εἰςῆγόν με,	introduisaient moi,
οὐ κατηγόρεις;	tu ne *m'*accusais pas?
Ἵνα τοίνυν εἰδῆτε	Donc pour-que vous sachiez
ὅτι οὗτος αὐτὸς μαρτυρεῖ μοι	que celui-ci même est-témoin *pour* moi
ἐστέφανῶσθαι	d'avoir-été-couronné
ἐπὶ οἷς	*pour des choses* pour lesquelles
οὐκ ἦν ὑπεύθυνος,	je n'étais pas comptable,
ἀνάγνωθι τὸ ψήφισμα ὅλον	lis le décret entier
τὸ γραφέν μοι,	celui ayant-été-écrit *pour* moi,
λαβών.	*l'*ayant-pris.
Οἷς γὰρ	Car *par les choses* que
οὐκ ἐγράψατο	il n'a pas accusées
τοῦ προβουλεύματος,	du décret-préliminaire,
φανήσεται συκοφαντῶν	il sera-vu calomniant
τούτοις ἃ διώκει.	*dans* celles qu'il poursuit.
Λέγε.	Dis.

ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Εὐθυκλέους ἄρχοντος,	« Sous Euthyclès archonte,
ἐνάτῃ Πυανεψιῶνος ἀπιόντος,	le neuvième de Pyanepsion décrois-
φυλῆς Οἰνηΐδος	la tribu Œnéide [sant,
πρυτανευούσης,	ayant-la-prytanie,
Κτησιφῶν Λεωσθένους	Ctésiphon *fils* de Léosthène
Ἀναφλύστιος εἶπεν·	d'Anaphlyste a dit :
Ἐπειδὴ Δημοσθένης	Puisque Démosthène
Δημοσθένους Παιανιεύς,	*fils* de Démosthène de-Péanée,
γενόμενος ἐπιμελητὴς	ayant-été curateur
τῆς ἐπισκευῆς τῶν τειχῶν	de la réparation des murs,
καὶ προσαναλώσας	et ayant-dépensé-en-ajoutant
εἰς τὰ ἔργα	pour les travaux
τρία τάλαντα	trois talents
ἐκ τῆς οὐσίας ἰδίας,	de sa fortune propre,
ἐπέδωκε ταῦτα τῷ δήμῳ,	a donné ces *sommes* au peuple,
καὶ κατασταθεὶς	et *que* ayant-été-préposé

ἐπέδωκε τοῖς ἐκ πασῶν τῶν φυλῶν θεωρικοῖς ἑκατὸν μνᾶς εἰς θυσίας· δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, ἐπαινέσαι Δημοσθένην Δημοσθένους Παιανιέα, ἀρετῆς ἕνεκα καὶ καλοκαγαθίας ἧς ἔχων διατελεῖ ἐν παντὶ καιρῷ εἰς τὸν δῆμον τῶν Ἀθηναίων, καὶ στεφανῶσαι χρυσῷ στεφάνῳ, καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεάτρῳ, Διονυσίοις, τραγῳδοῖς καινοῖς· τῆς δὲ ἀναγορεύσεως ἐπιμεληθῆναι τὸν ἀγωνοθέτην. »

Οὐκοῦν, ἃ μὲν ἐπέδωκα, ταῦτ' ἐστὶν ὧν οὐδὲν σὺ γέγραψαι· ἃ δέ φησιν ἡ βουλὴ δεῖν ἀντὶ τούτων γενέσθαι μοι, ταῦτ' ἔσθ' ἃ διώκεις. Τὸ λαβεῖν οὖν τὰ διδόμενα ὁμολογῶν ἔννομν εἶναι, τὸ χάριν τούτων ἀποδοῦναι παρανόμων γράφῃ; Ὁ δὲ παμπόνηρος ἄνθρωπος, καὶ θεοῖς ἐχθρὸς καὶ βάσκανος ὄντως, ποῖός τις ἂν εἴη, πρὸς θεῶν; οὐχ ὁ τοιοῦτος;

chargé de l'administration des deniers du théâtre, il a ajouté, pour les sacrifices, cent mines à la somme tirée de toutes les tribus; il a plu au sénat et au peuple de faire l'éloge de Démosthène, à cause de sa vertu et de la bienfaisance qu'il a toujours eue pour le peuple d'Athènes, de lui décerner une couronne d'or, et de la faire proclamer au théâtre, aux fêtes de Bacchus, le jour des tragédies nouvelles. Le président des jeux est chargé du soin de la proclamation. »

Vous le voyez, Eschine, vous vous taisez sur le don que j'ai fait au peuple, et vous vous récriez contre l'honneur dont le sénat le paye, vous avouez que le bienfait est légitime; et la reconnaissance, vous l'attaquez comme illégale. Un méchant accompli, ennemi des dieux, rongé par l'envie, quel est-il? Juste ciel! n'est-ce pas un tel homme?

ἐπὶ τοῦ θεωρικοῦ,	pour les-fonds-du-théâtre,
ἐπέδωκεν ἑκατὸν μνᾶς	il a ajouté cent mines
εἰς θυσίας	pour les sacrifices
τοῖς θεωρικοῖς	aux *sommes* destinées-aux-spectacles
ἐκ πασῶν τῶν φυλῶν·	*tirées* de toutes les tribus :
δεδόχθαι τῇ βουλῇ	avoir-paru-bon au sénat
καὶ τῷ δήμῳ τῶν Ἀθηναίων	et au peuple des Athéniens
ἐπαινέσαι Δημοσθένην	de louer Démosthène
Δημοσθένους Παιανιέα,	*fils* de Démosthène de-Péanée,
ἕνεκα ἀρετῆς	pour *sa* vertu,
καὶ καλοκαγαθίας	et la générosité
ἧς διατελεῖ ἔχων	qu'il persévère ayant
ἐν παντὶ καιρῷ	dans toute occasion
εἰς τὸν δῆμον τῶν Ἀθηναίων,	envers le peuple des Athéniens,
καὶ στεφανῶσαι	et de *le* couronner
στεφάνῳ χρυσῷ,	d'une couronne d'-or,
καὶ ἀναγορεῦσαι τὸν στέφανον	et de proclamer la couronne
ἐν τῷ θεάτρῳ,	dans le théâtre,
Διονυσίοις,	aux Dionysiaques,
τραγῳδοῖς καινοῖς·	aux tragédiens nouveaux;
τὸν δὲ ἀγωνοθέτην ἐπιμεληθῆναι	et l'agonothète prendre-soin
τῆς ἀναγορεύσεως. »	de la proclamation. »
Οὐκοῦν ἃ μὲν ἐπέδωκα,	Donc *les choses* que j'ai données,
ἐστὶ ταῦτα ὧν	sont celles desquelles
σὺ γέγραψαι οὐδέν·	toi tu *n'*as accusé aucune;
ἃ δὲ ἡ βουλή φησι	mais *celles* que le sénat dit
δεῖν γενέσθαι μοι	falloir être à moi
ἀντὶ τούτων,	en-échange de celles-là,
ἐστὶ ταῦτα ἃ διώκεις.	sont celles que tu poursuis.
Ὁμολογῶν οὖν,	Avouant donc
τὸ λαβεῖν τὰ διδόμενα	le avoir-reçu les *sommes* étant-données
εἶναι ἔννομον,	être légal,
γράφῃ παρανόμων	tu accuses de choses illégales
τὸ ἀποδοῦναι χάριν τούτων;	le avoir-rendu reconnaissance d'elles
Ποῖος δέ τις ἂν εἴη,	Mais quel pourrait être,
πρὸς θεῶν,	par les dieux,
ὁ ἄνθρωπος παμπόνηρος,	l'homme tout-à-fait-pervers,
καὶ ἐχθρὸς θεοῖς	et ennemi des dieux
καὶ βάσκανος ὄντως;	et envieux réellement?
οὐχ ὁ τοιοῦτος;	n'*est-ce* pas celui tel?

Καὶ μήν, περὶ τοῦ γ' ἐν τῷ θεάτρῳ κηρύττεσθαι, τὸ μὲν μυριάκις μυρίους κεκηρύχθαι παραλείπω, καὶ τὸ πολλάκις αὐτὸς ἐστεφανῶσθαι πρότερον· ἀλλά, πρὸς θεῶν, οὕτω σκαιὸς εἶ καὶ ἀναίσθητος, Αἰσχίνη, ὥςτ' οὐ δύνασθαι λογίσασθαι ὅτι τῷ μὲν στεφανουμένῳ τὸν αὐτὸν ἔχει ζῆλον ὁ στέφανος, ὅπου ἂν ἀναῤῥηθῇ, τοῦ δὲ τῶν στεφανούντων ἕνεκα συμφέροντος ἐν τῷ θεάτρῳ γίγνεται τὸ κήρυγμα; Οἱ γὰρ ἀκούσαντες ἅπαντες εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν προτρέπονται, καὶ τοὺς ἀποδιδόντας τὴν χάριν μᾶλλον ἐπαινοῦσι τοῦ στεφανουμένου· διόπερ τὸν νόμον τοῦτον ἡ πόλις γέγραφε. Λέγε δ' αὐτόν μοι τὸν νόμον λαβών.

ΝΟΜΟΣ.

« Ὅσους στεφανοῦσί τινες τῶν δήμων, τὰς ἀναγορεύσεις τῶν στεφάνων ποιεῖσθαι ἐν αὐτοῖς ἑκάστους τοῖς ἰδίοις δήμοις, ἐὰν μή τινας ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἢ ἡ βουλὴ στεφανοῖ·

Quant à la proclamation sur le théâtre, je ne dis point que mille couronnes y furent mille fois proclamées; que moi-même j'y fus couronné plusieurs fois auparavant. Mais, au nom des dieux, Eschine, êtes-vous assez dépourvu de sens pour ne pas comprendre que celui qui reçoit la couronne acquiert la même gloire, en quelque endroit qu'on la proclame; que c'est pour l'intérêt de ceux qui la décernent, que la proclamation se fait sur le théâtre? Oui, sans doute, les auditeurs s'encouragent à bien servir la patrie, et on applaudit moins a service qui mérite la récompense, qu'à la gratitude qui la donne C'est pourquoi la république a porté cette loi. Prenez et lisez la loi même.

LOI.

« Si les bourgs décernent une couronne, elle doit être proclamée dans les bourgs; si c'est le peuple d'Athènes ou le sénat qui la dé-

Καὶ μήν,
περί γε τοῦ κηρύττεσθαι
ἐν τῷ θεάτρῳ,
παραλείπω μὲν τὸ μυρίους
κεκηρύχθαι μυριάκις,
καὶ τὸ αὐτὸς ἐστεφανῶσθαι
πολλάκις πρότερον·
ἀλλά, πρὸς θεῶν,
εἶ οὕτω σκαιὸς
καὶ ἀναίσθητος, Αἰσχίνη,
ὥςτε οὐ δύνασθαι λογίσασθαι
ὅτι ὁ στέφανος ἔχει
τῷ μὲν στεφανουμένῳ
τὸν αὐτὸν ζῆλον,
ὅπου ἂν ἀναῤῥηθῇ,
τὸ δὲ κήρυγμα γίγνεται
ἐν τῷ θεάτρῳ,
ἕνεκα τοῦ συμφέροντος
τῶν στεφανούντων;
Ἅπαντες γὰρ οἱ ἀκούσαντες
προτρέπονται
εἰς τὸ ποιεῖν εὖ τὴν πόλιν,
καὶ ἐπαινοῦσι
τοὺς ἀποδιδόντας τὴν χάριν
μᾶλλον τοῦ στεφανουμένου·
διόπερ ἡ πόλις
γέγραφε τοῦτον τὸν νόμον.
Λέγε δέ μοι
τὸν νόμον αὐτόν, λαβών

Et certes,
du-moins sur le être-proclamé
dans le théâtre,
j'omets le dix-mille
avoir-été-proclamés dix-mille-fois,
et le *moi*-même avoir-été-couronné
souvent précédemment;
mais, par les dieux,
es-tu tellement maladroit
et privé-de-sens, Eschine,
au-point-de ne pouvoir réfléchir
que la couronne a
pour celui étant-couronné
la même émulation,
partout-où elle serait-proclamée,
mais *que* la proclamation a-lieu
dans le théâtre,
pour l'intérêt
de ceux couronnant?
Car tous ceux ayant-entendu
se tournent
vers le faire bien *envers* la ville,
et louent
ceux rendant la reconnaissance
plutôt *que* celui étant-couronné;
c'est pourquoi la ville
a écrit cette loi.
Mais dis à moi
la loi même, *l'*ayant prise.

ΝΟΜΟΣ.

« Ὅσους στεφανοῦσι
τινὲς τῶν δήμων,
ἑκάστους ποιεῖσθαι
τὰς ἀναγορεύσεις
τῶν στεφάνων
ἐν τοῖς δήμοις ἰδίοις αὐτοῖς,
ἐὰν μὴ ὁ δῆμος ὁ τῶν Ἀθηναίων
ἢ ἡ βουλὴ
στεφανοῖ τινας·

LOI.

« Tous-ceux-que couronnent
quelques-uns des bourgs,
chacun faire
les proclamations
des couronnes
dans les bourgs propres mêmes,
à moins que le peuple des Athéniens
ou le sénat
ne couronne quelques-uns;

τούτους δ' ἐξεῖναι ἐν τῷ θεάτρῳ Διονυσίοις ἀναγορεύεσθαι. »

Ἀκούεις, Αἰσχίνη, τοῦ νόμου λέγοντος σαφῶς· πλὴν ἐάν τινας ὁ δῆμος ἢ ἡ βουλὴ ψηφίσηται; τούτους δὲ ἀναγορευέτω.

Τί οὖν, ὦ ταλαίπωρε, συκοφαντεῖς; τί λόγους πλάττεις; τί σαυτὸν οὐκ ἐλλεβορίζεις ἐπὶ τούτοις; ἀλλ' οὐδ' αἰσχύνῃ, φθόνου δίκην εἰσάγων, οὐκ ἀδικήματος οὐδενός, καὶ νόμους μεταποιῶν, τῶν δ' ἀφαιρῶν μέρη, οὓς ὅλους δίκαιον ἦν ἀναγινώσκεσθαι, τοῖς γε ὀμωμοκόσι κατὰ τοὺς νόμους ψηφιεῖσθαι; Ἔπειτα σύ, τοιαῦτα ποιῶν, λέγεις ἃ δεῖ προσεῖναι τῷ δημοτικῷ, ὥσπερ ἀνδριάντα ἐκδεδωκὼς κατὰ συγγραφήν, εἶτ' οὐκ ἔχοντα ἃ προσῆκεν ἐκ τῆς συγγραφῆς κομιζόμενος· ἢ λόγῳ τοὺς δημοτικούς, ἀλλ' οὐ τοῖς πράγμασι καὶ τοῖς πολιτεύμασι γινωσκομένους. Καὶ βοᾷς, ῥητὰ καὶ ἄῤῥητα ὀνομάζων, ὥσπερ ἐξ ἁμάξης, ἃ σοι καὶ τῷ σῷ γένει πρόσεστιν, οὐκ ἐμοί.

cerne, elle pourra être proclamée sur le théâtre, aux fêtes de Bacchus. »

Entendez-vous bien, Eschine, la loi qui dit clairement que la couronne décernée par le sénat ou par le peuple peut être proclamée sur le théâtre, aux fêtes de Bacchus?

Pourquoi donc, malheureux imposteur, accumuler des mensonges? Pourquoi forger des fables? Pourquoi ne pas courir à l'ellébore, pour vous guérir de ces manies? Quoi! vous ne rougissez pas d'intenter par haine une accusation sans fondement! Vous n'avez pas honte, tantôt d'altérer, tantôt de tronquer des lois qu'il aurait fallu lire dans leur intégrité, du moins à des juges qui ont fait serment de prononcer suivant les lois! Puis, vous venez nous développer les qualités qui doivent distinguer le vrai républicain : semblable à celui qui fait un contrat pour l'exécution d'une statue, et qui en la recevant ne trouve jamais les conditions remplies; comme si le vrai républicain se faisait connaître par des paroles et non par des actions. Ce n'est pas tout: vous criez comme un furieux, vous vomissez, comme de dessus un tombereau, des torrents d'injures, qui vous conviennent à vous et aux vôtres plus qu'à moi.

ἐξεῖναι δὲ	mais être-permis
ἀναγορεύεσθαι τούτους	de proclamer ceux-ci
ἐν τῷ θεάτρῳ Διονυσίοις. »	dans le théâtre aux Dionysiaques. »
Ἀκούεις, Αἰσχίνη,	Entends-tu, Eschine,
τοῦ νόμου λέγοντος σαφῶς·	la loi disant clairement :
πλὴν ἐὰν ὁ δῆμος ἢ ἡ βουλὴ	excepté si le peuple ou le sénat
ψηφίσηταί τινας;	décrète quelques-uns?
ἀναγορευέτω δὲ τούτους.	et qu'il proclame ceux-ci.
Τί οὖν, ὦ ταλαίπωρε,	Pourquoi donc, ô malheureux,
συκοφαντεῖς;	calomnies-tu?
τί πλάττεις λόγους;	pourquoi forges-tu des discours?
τί οὐκ ἐλλεβορίζεις	pourquoi ne traites-tu-par-l'ellébore
σαυτὸν ἐπὶ τούτοις;	toi-même pour ces choses?
ἀλλὰ οὐδὲ αἰσχύνῃ,	mais n'as-tu-pas-honte,
εἰσάγων δίκην φθόνου,	intentant un procès *par* haine,
οὐκ οὐδενὸς ἀδικήματος,	non *pour* aucun délit,
καὶ μεταποιῶν νόμους,	et transformant des lois,
ἀφαιρῶν δὲ μέρη	et enlevant des parties
τῶν οὓς ἦν δίκαιον	de celles qu'il était juste
ἀναγινώσκεσθαι ὅλους,	être-lues entières,
τοῖς γε ὀμωμοκόσι	du-moins à ceux ayant-juré
ψηφιεῖσθαι κατὰ τοὺς νόμους;	devoir-voter selon les lois?
Ἔπειτα σύ, ποιῶν τοιαῦτα,	Ensuite toi, faisant de telles choses,
λέγεις ἃ δεῖ	tu dis *les qualités* qu'il faut
προσεῖναι τῷ δημοτικῷ,	appartenir à l'ami-du-peuple,
ὥσπερ ἐκδεδωκὼς ἀνδριάντα	comme ayant-donné-à-faire une statue
κατὰ συγγραφήν,	selon un contrat,
εἶτα κομιζόμενος	ensuite *la* recevant
οὐκ ἔχοντα ἃ προσῆκεν	n'ayant pas *les choses* qu'il convenait
ἐκ τῆς συγγραφῆς·	d'après le contrat;
ἢ τοὺς δημοτικοὺς	ou *comme* les amis-du-peuple
γινωσκομένους λόγῳ,	étant-connus *par* la parole,
ἀλλὰ οὐ τοῖς πράγμασι	mais non par les actions
καὶ τοῖς πολιτεύμασι.	et les systèmes-politiques.
Καὶ βοᾷς, ὀνομάζων,	Et tu cries, nommant,
ὥσπερ ἐξ ἁμάξης,	comme d'un tombereau,
ῥητὰ	*des choses* qui-peuvent-être-dites
καὶ ἄῤῥητα,	et qui-ne-doivent-pas-être-dites,
ἃ πρόσεστί σοι	qui s'appliquent à toi
καὶ τῷ γένει σῷ, οὐκ ἐμοί.	et à la race tienne, non à moi.

Καίτοι καὶ τοῦτο, ὦ ἄνδρες Ἀθηναῖοι. Ἐγὼ λοιδορίαν κατηγορίας τούτῳ διαφέρειν ἡγοῦμαι, τῷ τὴν μὲν κατηγορίαν ἀδικήματ' ἔχειν, ὧν ἐν τοῖς νόμοις εἰσὶν αἱ τιμωρίαι· τὴν δὲ λοιδορίαν, βλασφημίας, ἃς κατὰ τὴν αὐτῶν φύσιν τοῖς ἐχθροῖς περὶ ἀλλήλων συμβαίνει λέγειν. Οἰκοδομῆσαι δὲ τοὺς προγόνους ἡμῶν ταυτὶ τὰ δικαστήρια ὑπείληφα, οὐχ ἵνα συλλέξαντες ὑμᾶς εἰς ταῦτα ἀπὸ τῶν ἰδίων κακῶς τὰ ἀπόῤῥητα λέγωμεν ἀλλήλους, ἀλλ' ἵνα ἐξελέγχωμεν, ἐάν τις ἠδικηκώς τι τυγχάνῃ τὴν πόλιν. Ταῦτα τοίνυν εἰδὼς Αἰσχίνης οὐδὲν ἧττον ἐμοῦ, πομπεύειν ἀντὶ τοῦ κατηγορεῖν εἵλετο. Οὐ μὴν οὐδ' ἐνταῦθα ἔλαττον ἔχων δίκαιός ἐστιν ἀπελθεῖν. Ἤδη δ' ἐπὶ ταῦτα πορεύσομαι, τοσοῦτον αὐτὸν ἐρωτήσας.

Πότερόν σέ τις, Αἰσχίνη, τῆς πόλεως ἐχθρόν, ἢ ἐμόν, εἶναι φῇ; ἐμὸν δῆλον ὅτι. Εἶτα, οὗ μὲν ἦν παρ' ἐμοῦ δίκην κατὰ τοὺς

Au reste, Athéniens, pour dire encore un mot, je pense que l'invective est très-différente de l'accusation. L'accusation suppose des délits dont le châtiment est dans les lois : l'invective, des outrages et des injures que des ennemis se renvoient, suivant leur humeur. Aussi, je crois que ces tribunaux ont été érigés par nos ancêtres, non pour vous arracher à vos affaires et vous y réunir afin que nous pussions devant vous nous accabler d'invectives, mais pour qu'il nous fût possible de convaincre par des preuves solides celui qui aurait trahi l'État. Instruit de ces vérités aussi bien que moi, Eschine a mieux aimé invectiver qu'accuser. Or, comme il ne serait pas juste d'être en reste avec lui, même pour cet article, j'y reviendrai, après lui avoir fait cette seule question.

Eschine, faut-il vous nommer l'ennemi de la république ou le mien Le mien, direz-vous, sans doute. Cependant, lorsque vous pouviez

Καίτοι καὶ τοῦτο,	Cependant encore ceci,
ὦ ἄνδρες Ἀθηναῖοι.	ô hommes Athéniens.
Ἐγὼ ἡγοῦμαι λοιδορίαν	Moi je pense une invective
διαφέρειν κατηγορίας τούτῳ,	différer d'une accusation *par* ceci,
τῷ τὴν μὲν κατηγορίαν	le l'accusation
ἔχειν ἀδικήματα,	avoir des délits,
ὧν αἱ τιμωρίαι	dont les châtiments
εἰσὶν ἐν τοῖς νόμοις·	sont dans les lois;
τὴν δὲ λοιδορίαν,	mais l'invective,
βλασφημίας ἃς,	des calomnies que,
κατὰ τὴν φύσιν αὐτῶν,	selon le naturel d'eux-mêmes,
συμβαίνει τοῖς ἐχθροῖς	il arrive aux ennemis
λέγειν περὶ ἀλλήλων.	de dire sur les-uns-les-autres.
Ὑπείληφα δὲ	Mais j'ai conçu
τοὺς προγόνους ἡμῶν	les ancêtres de nous
οἰκοδομῆσαι ταυτὶ τὰ δικαστήρια,	avoir-construit ces tribunaux,
οὐχ ἵνα	non afin-que
συλλέξαντες ὑμᾶς εἰς ταῦτα	ayant-rassemblé vous dans eux
ἀπὸ τῶν ἰδίων,	au-sortir des *affaires* particulières,
λέγωμεν κακῶς	nous dissions méchamment
ἀλλήλους	les-uns-aux-autres [tes,
τὰ ἀπόῤῥητα,	les choses qui-ne-doivent-pas-être-di-
ἀλλὰ ἵνα ἐξελέγχωμεν,	mais afin-que nous démontrassions,
ἐάν τις τυγχάνῃ	si quelqu'un se-trouve
ἠδικηκώς τι	ayant-fait-tort *en* quelque chose
τὴν πόλιν.	à la ville.
Αἰσχίνης τοίνυν εἰδὼς ταῦτα	Eschine donc sachant ces choses
οὐδὲν ἧττον ἐμοῦ,	*en* rien moins *que* moi,
εἵλετο πομπεύειν	a choisi d'invectiver
ἀντὶ τοῦ κατηγορεῖν.	au-lieu d'accuser.
Οὐ μὴν ἐστι δίκαιος	Cependant il n'est pas juste
ἀπελθεῖν ἔχων ἔλαττον	de s'en aller ayant moins
οὐδὲ ἐνταῦθα.	pas *même* ici.
Πορεύσομαι δὲ ἤδη	Mais je marcherai bientôt
ἐπὶ ταῦτα,	vers ces choses,
ἐρωτήσας αὐτὸν τοσοῦτον.	ayant-interrogé lui autant.
Πότερόν τις	Lequel-des-deux quelqu'un
φῇ σε εἶναι, Αἰσχίνη,	dirait-il toi être, Eschine,
ἐχθρὸν τῆς πόλεως, ἢ ἐμόν;	l'ennemi de la ville, ou le mien?
δῆλον ὅτι ἐμόν.	*il est* évident que le mien.

νόμους ὑπὲρ τούτων λαβεῖν, εἴπερ ἠδίκουν, ἐξέλιπες, ἐν ταῖς εὐθύναις, ἐν ταῖς γραφαῖς, ἐν ταῖς ἄλλαις κρίσεσιν· οὗ δ' ἐγὼ μὲν ἀθῶος ἅπασι, τοῖς νόμοις, τῷ χρόνῳ, τῇ προθεσμίᾳ, τῷ κεκρίσθαι περὶ πάντων πολλάκις πρότερον, τῷ μηδεπώποτε ἐξελεγχθῆναι μηδὲν ὑμᾶς ἀδικῶν (τῇ πόλει δ' ἢ πλέον ἢ ἔλαττον ἀνάγκη τῶν γε δημοσίᾳ πεπραγμένων μετεῖναι τῆς δόξης), ἐνταῦθα ἀπήντηκας; Ὅρα μὴ τούτων μὲν ἐχθρὸς ᾖς, ἐμὸς δὲ προσποιῇ.

Ἐπειδὴ τοίνυν ἡ μὲν εὐσεβὴς καὶ δικαία ψῆφος ἅπασι δέδεικται, δεῖ δέ με, ὡς ἔοικε, καίπερ οὐ φιλολοίδορον ὄντα φύσει, διὰ τὰς ὑπὸ τούτου βλασφημίας εἰρημένας, ἀντὶ πολλῶν καὶ ψευδῶν, αὐτὰ τὰ ἀναγκαιότατ' εἰπεῖν περὶ αὐτοῦ, καὶ δεῖξαι τίς ὢν καὶ τίνων ῥᾳδίως οὕτως ἄρχει τοῦ κακῶς λέγειν, καὶ λόγους

si j'étais coupable, me poursuivre devant les tribunaux où je rendais mes comptes, devant ceux où j'étais accusé de crimes d'État, devant d'autres encore, vous avez gardé le silence : et lorsque tout conspire à me déclarer innocent, lois, temps écoulé, jour préfix, jugements antérieurs, administration reconnue irréprochable, services qui ont acquis à la patrie plus ou moins de gloire, c'est alors que vous m'attaquez? Prenez garde d'être réellement l'ennemi de la république, et le mien seulement en apparence.

Après vous avoir mis en état de porter un jugement religieux et juste, je me vois forcé, malgré mon éloignement pour les invectives, de rendre à mon accusateur quelques vérités absolument nécessaires pour répondre à tant d'injures et de calomnies, et de faire connaître le caractère et l'origine de cet homme, si prompt à médire, si hardi

Εἶτα, ἐξέλιπες μέν,	Eh bien, tu as omis,
οὗ ἦν λαβεῖν δίκην	où il était *possible* de prendre justice
παρὰ ἐμοῦ ὑπὲρ τούτων	de moi pour ces choses
κατὰ τοὺς νόμους,	selon les lois,
εἴπερ ἠδίκουν,	si-toutefois j'étais-coupable,
ἐν ταῖς εὐθύναις, ἐν ταῖς γραφαῖς,	[tions, dans les comptes, dans les accusa-
ἐν ταῖς ἄλλαις κρίσεσιν·	dans les autres jugements;
οὗ δὲ ἐγὼ μὲν ἀθῶος	mais où j'*étais* innocent
ἅπασι,	*par* toutes choses,
τοῖς νόμοις, τῷ χρόνῳ,	les lois, le temps,
τῇ προθεσμίᾳ,	le *jour* préfix,
τῷ κεκρίσθαι πολλάκις	le avoir-été-jugé souvent
περὶ πάντων πρότερον,	sur toutes choses précédemment,
τῷ μηδεπώποτε ἐξελεγχθῆναι	le jamais *n'*avoir-été-démontré
ἀδικῶν ὑμᾶς μηδὲν	faisant-tort à vous *en* rien
(ἀνάγκη δὲ τῇ πόλει	(mais nécessité *est* à la ville
ἢ πλέον ἢ ἔλαττον	ou plus ou moins
μετεῖναι τῆς δόξης	de participer à la gloire
τῶν γε πεπραγμένων	du-moins des choses ayant-été-faites
δημοσίᾳ),	publiquement),
ἐνταῦθα ἀπήντηκας;	alors tu es-venu-à-*ma*-rencontre?
Ὅρα μὴ ᾖς	Vois que tu ne sois pas
ἐχθρὸς μὲν τούτων,	en-vérité ennemi de ceux-ci,
προσποιῇ δὲ ἐμός.	et *ne* feignes *d'être* le mien.
Ἐπειδὴ τοίνυν ἡ μὲν ψῆφος	Puisque donc le suffrage
εὐσεβὴς καὶ δικαία	religieux et juste
δέδεικται ἅπασι,	a-été-montré à tous,
δεῖ δέ με, ὡς ἔοικε,	et *qu'*il faut moi, comme il semble
καίπερ οὐκ ὄντα φύσει	quoique n'étant pas *par* le naturel
φιλολοίδορον,	ami-de-l'invective,
διὰ τὰς βλασφημίας	à-cause des calomnies
εἰρημένας ὑπὸ τούτου,	ayant-été-dites par celui-ci,
εἰπεῖν περὶ αὐτοῦ,	dire sur lui,
ἀντὶ πολλῶν	en-échange de choses nombreuses
καὶ ψευδῶν,	et mensongères,
τὰ ἀναγκαιότατα αὐτά,	les plus nécessaires mêmes,
καὶ δεῖξαι	et montrer
τίς ὢν καὶ τίνων	qui étant et de quels *parents*
ἄρχει οὕτω ῥᾳδίως	il commence ainsi facilement
τοῦ λέγειν κακῶς,	le parler méchamment,

τινὰς διασύρει, αὐτὸς εἰρηκὼς ἃ τίς οὐκ ἂν ὤκνησε τῶν μετρίων ἀνθρώπων φθέγξασθαι; Εἰ γὰρ Αἰακός, ἢ Ῥαδάμανθυς, ἢ Μίνως ἦν ὁ κατηγορῶν, ἀλλὰ μὴ σπερμολόγος, περίτριμμα ἀγορᾶς, ὄλεθρος γραμματεύς, οὐκ ἂν αὐτὸν οἶομαι τοιαῦτ' εἰπεῖν, οὐδ' ἂν οὕτως ἐπαχθεῖς λόγους πορίσασθαι, ὥςπερ ἐν τραγῳδίᾳ βοῶντα· ὦ Γῆ, καὶ Ἥλιε, καὶ Ἀρετή! καὶ τὰ τοιαῦτα· καὶ πάλιν Σύνεσιν καὶ Παιδείαν ἐπικαλούμενον, ᾗ τὰ καλὰ καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται· ταῦτα γὰρ δήπουθεν ἠκούετ' αὐτοῦ λέγοντος. Σοὶ δὲ ἀρετῆς, ὦ κάθαρμα, ἢ τοῖς σοῖς τίς μετουσία; ἢ καλῶν, ἢ μὴ τοιούτων, τίς διάγνωσις; πόθεν λαβόντι, ἢ πῶς ἀξιωθέντι; ποῦ δὲ παιδείας σοι θέμις μνησθῆναι; ἧς τῶν μὲν ὡς ἀληθῶς τετυχηκότων οὐδ' ἂν εἷς εἴποι περὶ αὐτοῦ τοιοῦτον οὐδέν, ἀλλὰ κἂν ἑτέρου λέγοντος ἐρυθριάσειε· τοῖς δ' ἀπολειφθεῖσι μέν, ὥςπερ σύ, προςποιουμένοις δ' ὑπ' ἀναισθησίας, τὸ τοὺς ἀκούον-

à relever mes expressions, lui qui s'en est permis dont rougirait tout homme un peu raisonnable. En effet, si j'avais pour accusateur Éaque, ou Rhadamanthe, ou Minos, et non pas un artisan de mots, un suppôt de chicane, un misérable copiste, je ne crois pas qu'ils eussent jamais emprunté un tel langage, qu'ils se fussent écriés d'un ton aussi tragique : *O terre, ô soleil, ô vertu,* invoquant *les lumières acquises et naturelles qui nous font discerner le bien et le mal...* car sans doute vous avez entendu ces paroles. Mais qu'avez-vous de commun avec la vertu, vous et les vôtres? Connaissez-vous ce qui est bien ou ce qui est mal? Où l'auriez-vous connu? où l'auriez-vous appris? Quels droits avez-vous d'invoquer les talents acquis? Ceux qui les possèdent réellement ne sont pas les plus empressés à en tirer gloire; ils rougiraient si un autre les en félicitait. Mais celui qui en est dépourvu, comme vous, et qui, par stupidité, affecte de

καὶ διασύρει τινὰς λόγους,
εἰρηκὼς αὐτὸς ἃ
τίς τῶν ἀνθρώπων μετρίων
οὐκ ἂν ὤκνησε φθέγξασθαι[64];
Εἰ γὰρ Αἰακός,
ἢ Ῥαδάμανθυς, ἢ Μίνως
ἦν ὁ κατηγορῶν,
ἀλλὰ μὴ σπερμολόγος,
περίτριμμα ἀγορᾶς,
ὄλεθρος γραμματεύς,
οὐκ οἶομαι αὐτὸν
ἂν εἰπεῖν τοιαῦτα,
οὐδὲ ἂν πορίσασθαι
λόγους οὕτως ἐπαχθεῖς,
βοῶντα ὥςπερ ἐν τραγῳδίᾳ·
ὦ Γῆ, καὶ Ἥλιε, καὶ Ἀρετή!
καὶ τὰ τοιαῦτα·
καὶ πάλιν ἐπικαλούμενον
Σύνεσιν καὶ Παιδείαν,
ᾗ τὰ καλὰ
καὶ τὰ αἰσχρὰ διαγιγνώσκεται·
ἠκούετε γὰρ δήπουθεν
αὐτοῦ λέγοντος ταῦτα.
Τίς δὲ μετουσία τῆς ἀρετῆς
σοί, ὦ κάθαρμα,
ἢ τοῖς σοῖς;
ἢ τίς διάγνωσις
καλῶν, ἢ μὴ τοιούτων;
λαβόντι πόθεν,
ἢ πῶς ἀξιωθέντι;
ποῦ δὲ θέμις σοι
μνησθῆναι παιδείας,
ἧς μὲν οὐδὲ εἷς
τῶν τετυχηκότων ὡς ἀληθῶς
ἂν εἴποι περὶ αὐτοῦ
οὐδὲν τοιοῦτον,
ἀλλὰ καὶ ἂν ἐρυθριάσειεν
ἑτέρου λέγοντος·
τοῖς δὲ ἀπολειφθεῖσι μέν,
ὥςπερ σύ, προςποιουμένοις δὲ

et censure quelques paroles,
ayant-dit *lui*-même *des choses* que
lequel des hommes modérés
n'aurait hésité à prononcer?
Car si Éaque,
ou Rhadamanthe, ou Minos
était celui accusant,
mais non un vil-parleur,
un vieux-routier de place-publique,
une peste *de* copiste,
je ne crois pas lui
avoir-dit de telles choses,
ni avoir-apporté
des mots tellement pesants,
criant comme dans une tragédie :
ô Terre, et Soleil, et Vertu!
et les choses telles;
et de-nouveau invoquant
l'Intelligence et l'Instruction,
par laquelle les belles choses
et les laides sont-discernées;
car vous avez entendu sans-doute
lui disant ces choses.
Mais quelle communauté *avec* la vertu
est à toi, ô scélérat,
ou aux tiens?
ou quel discernement
des choses belles, ou non telles?
*l'*ayant pris d'où,
ou comment *en* étant-devenu-digne?
mais où le droit *est-il* à toi
de faire-mention de l'instruction?
laquelle pas *même* un
de ceux ayant-obtenu véritablemen
*n'*aurait dit sur lui-même
rien de tel,
mais encore aurait rougi
un autre disant;
mais à ceux ayant-été-dépourvus,
comme toi, mais feignant

ς ἀλγεῖν ποιεῖν, ὅταν λέγωσιν, οὐ τὸ δοκεῖν τοιούτοις εἶναι περίεστιν.

Οὐκ ἀπορῶν δ' ὅ τι χρὴ περὶ σοῦ καὶ τῶν σῶν εἰπεῖν, ἀπορῶ τοῦ πρώτου μνησθῶ. Πότερ' ὡς ὁ πατήρ σου Τρόμης ἐδούλευε παρ' Ἐλπίᾳ, τῷ πρὸς τῷ Θησείῳ διδάσκοντι γράμματα, χοίνικας παχείας ἔχων καὶ ξύλον; ἢ ὡς ἡ μήτηρ σου τοῖς μεθημερινοῖς γάμοις ἐν τῷ κλισίῳ, τῷ πρὸς τῷ Καλαμίτῃ ἥρωϊ, χρωμένη, τὸν καλὸν ἀνδριάντα καὶ τριταγωνιστὴν ἄκρον ἐξέθρεψέ σε; ἀλλὰ πάντες ἴσασι ταῦτα, κἂν ἐγὼ μὴ λέγω. Ἀλλ' ὡς ὁ τριηραύλης Φορμίων, ὁ Δίωνος τοῦ Φρεαῤῥίου δοῦλος, ἀνέστησεν αὐτὴν ἀπὸ ταύτης τῆς καλῆς ἐργασίας; ἀλλά, νὴ τὸν Δία καὶ τοὺς θεούς, ὀκνῶ μή, περὶ σοῦ τὰ προσήκοντα λέγων, αὐτὸς οὐ προσήκοντας ἐμαυτῷ δόξω προῃρῆσθαι λόγους. Ταῦτα μὲν οὖν ἐάσω· ἀπ' αὐτῶν δέ, ὧν αὐτὸς βεβίωκεν, ἄρξομαι.

les avoir, ne fait que révolter ceux qui l'entendent, sans réussir à passer pour ce qu'il veut.

Ayant à parler de vous et des vôtres, Eschine, je n'appréhende point de manquer de matière, tout mon embarras est de savoir par où commencer. Dirai-je d'abord comment votre père Tromès, les pieds retenus dans des entraves de bois, servait, en qualité d'esclave, Elpias, maître d'école auprès du temple de Thésée; ou comment votre mère, qui passait tous les jours à de nouveaux mariages dans un lieu suspect près du héros Calamite, éleva dans vous une belle statue, un excellent acteur pour les troisièmes rôles? Mais tous le savent, et je n'ai nul besoin de le dire. Dirai-je ensuite comment un certain Phormion, joueur de flûte, esclave de Dion de Phréare, a retira de cet honnête commerce? Mais, en vérité, je crains que de tels détails, qui sont dignes de vous, ne paraissent indignes de moi. Je les abandonne donc pour commencer l'histoire de sa vie

ὑπὸ ἀναισθησίας,	par stupidité,
περίεστι τὸ ποιεῖν	reste le faire
τοὺς ἀκούοντας ἀλγεῖν,	ceux entendant souffrir,
οὐ τὸ δοκεῖν εἶναι τοιούτοις.	non le paraître être tels.
Οὐ δὲ ἀπορῶν	Mais n'étant-pas-embarrassé
ὅ τι χρὴ εἰπεῖν	*sur* ce qu'il faut dire
περὶ σοῦ καὶ τῶν σῶν,	sur toi et les tiens,
ἀπορῶ τοῦ	je suis-embarrassé de quelle chose
μνησθῶ πρώτου.	je ferai-mention la première.
Πότερα ὡς ὁ πατήρ σου Τρόμης	Est-ce que le père de toi Tromès
ἐδούλευε παρὰ Ἐλπίᾳ,	était-esclave chez Elpias,
τῷ διδάσκοντι γράμματα [65]	celui enseignant les lettres
πρὸς τῷ Θησείῳ,	près du temple-de-Thésée,
ἔχων χοίνικας παχείας	ayant des entraves épaisses
καὶ ξύλον [66];	et du bois?
ἢ ὡς ἡ μήτηρ σου,	ou que la mère de toi,
χρωμένη τοῖς γάμοις	se servant des mariages
μεθημερινοῖς	quotidiens
ἐν τῷ κλισίῳ,	dans la maison-de-débauche,
τῷ πρὸς τῷ ἥρωϊ Καλαμίτῃ [67],	celle près du héros Calamite,
ἐξέθρεψέ σε	éleva toi
τὸν καλὸν ἀνδριάντα	la belle statue
καὶ ἄκρον τριταγωνιστήν;	et le haut comédien-de-troisième-ordre?
ἀλλὰ πάντες ἴσασι ταῦτα,	mais tous savent ces choses,
καὶ ἂν ἐγὼ μὴ λέγω.	même si je ne *les* dis pas.
Ἀλλὰ ὡς Φορμίων	Mais que Phormion
ὁ τριηραύλης,	le joueur-de-flûte-sur-les-galères,
ὁ δοῦλος Δίωνος τοῦ Φρεαῤῥίου,	l'esclave de Dion celui de-Phréare,
ἀνέστησεν αὐτὴν	retira elle
ἀπὸ ταύτης τῆς καλῆς ἐργασίας;	de ce beau métier?
ἀλλά, νὴ τὸν Δία	mais, par Jupiter
καὶ τοὺς θεούς,	et les dieux,
ὀκνῶ μή, λέγων περὶ σοῦ	je crains que, disant sur toi
τὰ προσήκοντα,	les choses convenant,
αὐτὸς δόξω	moi-même je *ne* paraisse
προῃρῆσθαι λόγους	avoir-préféré des discours
οὐ προσήκοντας ἐμαυτῷ.	ne convenant pas à moi-même.
Ἐάσω μὲν οὖν ταῦτα·	Je laisserai donc ces choses;
ἄρξομαι δὲ ἀπὸ αὐτῶν,	mais je commencerai par celles,
ὧν αὐτὸς βεβίωκεν.	que lui a-faites-dans-sa vie

Οὐδὲ γὰρ ὧν ἔτυχεν ἦν, ἀλλ' οἷς ὁ δῆμος καταρᾶται. Ὀψὲ γάρ ποτε... ὀψὲ λέγω; χθὲς μὲν οὖν καὶ πρώην ἅμ' Ἀθηναῖος καὶ ῥήτωρ γέγονε· καὶ δύο συλλαβὰς προςθείς, τὸν μὲν πατέρα ἀντὶ Τρόμητος ἐποίησεν Ἀτρόμητον, τὴν δὲ μητέρα σεμνῶς πάνυ Γλαυκοθέαν ὠνόμασεν, ἣν Ἔμπουσαν ἅπαντες ἴσασι καλουμένην, ἐκ τοῦ πάντα ποιεῖν καὶ πάσχειν δηλονότι ταύτης τῆς ἐπωνυμίας τυχοῦσαν· πόθεν γὰρ ἄλλοθεν; Ἀλλ' ὅμως οὕτως ἀχάριστος εἶ καὶ πονηρὸς φύσει, ὥςτ' ἐλεύθερος ἐκ δούλου καὶ πλούσιος ἐκ πτωχοῦ διὰ τουτουσὶ γεγονώς, οὐχ ὅπως χάριν αὐτοῖς ἔχεις, ἀλλὰ καὶ μισθώσας σαυτὸν κατὰ τουτωνὶ πολιτεύῃ.

Καὶ περὶ ὧν μέν ἐστί τις ἀμφισβήτησις ὡς ἄρα ὑπὲρ τῆς πόλεως εἴρηκεν, ἐάσω· ἃ δ' ὑπὲρ τῶν ἐχθρῶν φανερῶς ἐπεδείχθη πράττων, ταῦτα ἀναμνήσω. Τίς γὰρ ὑμῶν οὐκ οἶδε τὸν ἀποψηφισθέντα Ἀντιφῶντα, ὃς ἐπαγγειλάμενος Φιλίππῳ τὰ νεώρια

Eschine, ô Athéniens! n'est pas né parmi ceux au rang desquels vous le voyez aujourd'hui, mais parmi ces misérables que le peuple abhorre. Il n'y a pas longtemps, que dis-je? il n'y a que deux jours qu'il est devenu tout-à-coup Athénien et orateur. Ajoutant deux syllabes au nom de son père, il l'appelle Atromète, au lieu de Tromès. Il décore sa mère du nom de Glaucothée; personne n'ignore qu'on la nommait auparavant *Empusa*, sans doute à cause de ses complaisances criminelles : autrement, en effet, lui eût-on donné ce beau nom? Tel est donc, Eschine, votre naturel ingrat et pervers, que d'esclave devenu libre, d'indigent devenu riche par la faveur des Athéniens, loin de leur témoigner votre reconnaissance, vous vous êtes vendu pour les trahir pendant votre administration.

Je tairai les occasions dans lesquelles il est incertain qu'il ait parlé pour la république; je rappellerai celles dans lesquelles il est évident qu'il agissait pour nos ennemis. Qui de vous ne connaît cet Antiphon, qui, chassé de votre ville, avait promis à Philippe de brûler vos arse-

Οὐδὲ γὰρ ἦν	Car il n'était pas
ὧν ἔτυχεν,	*de ceux* dont il a obtenu *d'être*,
ἀλλὰ οἷς ὁ δῆμος	mais *de ceux contre* lesquels le peuple
καταρᾶται.	fait des imprécations.
Ὀψὲ γάρ ποτε... λέγω ὀψέ;	En effet, tard un-jour... je dis tard:
χθὲς μὲν οὖν καὶ πρώην	hier donc et avant-hier
γέγονεν ἅμα	il est-devenu en-même-temps
Ἀθηναῖος καὶ ῥήτωρ·	Athénien et orateur;
καὶ προςθεὶς δύο συλλαβάς,	et ayant-ajouté deux syllabes,
ἐποίησε μὲν τὸν πατέρα	il a fait son père
Ἀτρόμητον ἀντὶ Τρόμητος,	Atromète au-lieu-de Tromès,
ὠνόμασε δὲ Γλαυκοθέαν	et il a nommé Glaucothée
πάνυ σεμνῶς	tout-à-fait honorablement
τὴν μητέρα, ἣν ἅπαντες ἴσασι	sa mère, que tous savent
καλουμένην Ἔμπουσαν[68],	étant-appelée Empusa,
δηλονότι τυχοῦσαν	évidemment ayant-obtenu
ταύτης τῆς ἐπωνυμίας	ce surnom
ἐκ τοῦ ποιεῖν	par-suite du faire
καὶ πάσχειν πάντα·	et souffrir toutes choses;
πόθεν γὰρ ἄλλοθεν; Ἀλλὰ ὅμως	car d'où ailleurs? Mais cependant
εἶ οὕτως ἀχάριστος	tu es tellement ingrat
καὶ πονηρὸς φύσει,	et pervers *de* nature,
ὥςτε γεγονὼς διὰ τουτουσὶ	que étant-devenu par ceux-ci
ἐλεύθερος ἐκ δούλου	libre d'esclave
καὶ πλούσιος ἐκ πτωχοῦ,	et riche de pauvre,
οὐχ ὅπως ἔχεις	non-seulement tu *n'*as *pas*
χάριν αὐτοῖς,	de reconnaissance *pour* eux,
ἀλλὰ καὶ μισθώσας	mais encore ayant-mis-à-gages
σαυτὸν,	toi-même,
πολιτεύῃ κατὰ τουτωνί.	tu administres contre ceux-ci.
Καὶ ἐάσω μὲν περὶ ὧν	Et je laisserai *les choses* sur lesquelles
τις ἀμφισβήτησίς ἐστιν	quelque doute est
ἄρα ὡς εἴρηκεν ὑπὲρ τῆς πόλεως·	savoir qu'il a parlé pour la ville;
ἀναμνήσω δὲ ταῦτα ἃ	mais je rappellerai celles que
ἐπεδείχθη φανερῶς	il a-été-démontré manifestement
πράττων ὑπὲρ τῶν ἐχθρῶν.	faisant pour les ennemis.
Τίς γὰρ ὑμῶν	Car qui de vous
οὐκ οἶδεν Ἀντιφῶντα,	ne connaît pas Antiphon,
τὸν ἀποψηφισθέντα,	celui avant-été-chassé-par-décret,
ὃς ἐπαγγειλάμενος Φιλίππῳ	qui ayant-promis à Philippe

ἐμπρήσειν τὰ ὑμέτερα, εἰς τὴν πόλιν ἦλθεν; ὃν λαβόντος ἐμοῦ κεκρυμμένον ἐν Πειραιεῖ, καὶ καταστήσαντος εἰς τὴν ἐκκλησίαν, βοῶν ὁ βάσκανος οὗτος καὶ κεκραγὼς ὡς ἐν δημοκρατίᾳ δεινὰ ποιῶ, τοὺς ἠτυχηκότας τῶν πολιτῶν ὑβρίζων, ἐπ' οἰκίας βαδίζων ἄνευ ψηφίσματος, ἀφεθῆναι ἐποίησε. Καὶ εἰ μὴ ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου, τὸ πρᾶγμα αἰσθομένη, καὶ τὴν ὑμετέραν ἄγνοιαν ἐν οὐ δέοντι συμβεβηκυῖαν ἰδοῦσα, ἐπεζήτησε τὸν ἄνθρωπον, καὶ συλλαβοῦσα ἐπανήγαγεν ὡς ὑμᾶς, ἐξήρπαστ' ἂν ὁ τοιοῦτος, καὶ τὸ δίκην δοῦναι διαδύς, ἐξεπέμπετ' ἂν ὑπὸ τοῦ σεμνολόγου τουτουί. Νῦν δ' ὑμεῖς στρεβλώσαντες αὐτόν, ἀπεκτείνατε, ὡς ἔδει γε καὶ τοῦτον.

Τοιγαροῦν εἰδυῖα ταῦτα ἡ βουλὴ ἡ ἐξ Ἀρείου πάγου τούτῳ τότε πεπραγμένα, χειροτονησάντων αὐτὸν ὑμῶν σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ, ἀπὸ τῆς αὐτῆς ἀγνοίας, ἀφ' ἧσπερ

naux de marine, et s'était introduit dans Athènes? Je le surpris au Pirée, et le fis comparaître devant le peuple. Le perfide Eschine, à force de s'emporter, de crier que j'exerçais des violences inouïes dans une république, que j'outrageais des citoyens malheureux, que je forçais leurs maisons sans un décret du peuple, fit relâcher le coupable. Et si le sénat de l'Aréopage, instruit du fait et de votre ignorance condamnable en pareil cas, ne l'eût recherché pour se ressaisir de lui et l'amener devant vous, il vous aurait échappé, il aurait évité la rigueur des jugements, et jouirait de l'impunité, grâce aux déclamations d'Eschine; mais il subit la question, et fut puni de mort par vous comme l'eût mérité aussi son défenseur.

Justement irrité d'une pareille conduite, le même sénat de l'Aréopage voyant que, par un effet de cette imprudence qui vous fait si souvent négliger l'utilité commune, vous aviez nommé Eschine pour plaider votre cause dans le temple de Délos; le sénat, dis-je, à qui

ἐμπρήσειν	devoir-brûler
τὰ νεώρια τὰ ὑμέτερα,	les arsenaux-maritimes les vôtres,
ἦλθεν εἰς τὴν πόλιν;	vint dans la ville?
ὃν ἐμοῦ λαβόντος	que moi ayant-pris
κεκρυμμένον ἐν Πειραιεῖ,	s'étant-caché dans le Pirée,
καὶ καταστήσαντος	et ayant-traduit
εἰς τὴν ἐκκλησίαν,	dans l'assemblée,
οὗτος ὁ βάσκανος	celui-ci l'envieux
βοῶν καὶ κεκραγὼς	criant et vociférant
ὡς ποιῶ δεινὰ	que je fais des choses indignes
ἐν δημοκρατίᾳ,	dans une démocratie,
ὑβρίζων τοὺς ἠτυχηκότας	outrageant ceux ayant-été-malheureux
τῶν πολιτῶν,	des citoyens,
βαδίζων ἐπὶ οἰκίας	allant dans les maisons
ἄνευ ψηφίσματος,	sans décret,
ἐποίησεν ἀφεθῆναι. Καὶ εἰ ἡ βουλὴ	fit avoir-été-relâché. Et si le sénat
ἡ ἐκ πάγου Ἀρείου,	celui de la colline de-Mars
αἰσθομένη τὸ πρᾶγμα,	ayant-appris la chose,
καὶ ἰδοῦσα τὴν ἄγνοιαν ὑμετέραν	et ayant-vu l'imprudence vôtre
συμβεβηκυῖαν	étant-arrivée
ἐν οὐ δέοντι,	dans un *moment* ne convenant pas,
μὴ ἐπεζήτησε τὸν ἄνθρωπον,	n'eût recherché l'homme,
καὶ συλλαβοῦσα	et *l'*ayant-repris
ἐπανήγαγεν ὡς ὑμᾶς,	*ne l'*eût-ramené vers vous,
ὁ τοιοῦτος ἂν ἐξήρπαστο,	un tel *homme* aurait-été-arraché,
καὶ διαδὺς τὸ δοῦναι δίκην,	et ayant-esquivé le donner justice,
ἂν ἐξεπέμπετο	aurait-été-renvoyé
ὑπὸ τουτουὶ τοῦ σεμνολόγου.	par celui-ci le magnifique-parleur
Ὑμεῖς δὲ νῦν	Mais vous alors
στρεβλώσαντες αὐτόν,	ayant-torturé lui,
ἀπεκτείνατε,	vous *l'*avez tué,
ὡς ἔδει γε καὶ τοῦτον	comme il fallait certes aussi celui-ci.
Τοιγαροῦν ἡ βουλὴ	En-conséquence le sénat
ἡ ἐξ Ἀρείου πάγου,	celui de l'Aréopage,
εἰδυῖα ταῦτα	connaissant ces choses
πεπραγμένα τότε τούτῳ,	ayant-été-faites alors *par* celui-ci,
ὑμῶν χειροτονησάντων αὐτὸν	vous ayant-élu lui
σύνδικον ὑπὲρ τοῦ ἱεροῦ	syndic pour le temple
τοῦ ἐν Δήλῳ[69],	celui dans Délos,
ἀπὸ τῆς αὐτῆς ἀγνοίας,	par la même imprudence,

πολλὰ προΐεσθε τῶν κοινῶν, ὡς προείλεσθε κἀκείνην καὶ κυρίαν τοῦ πράγματος ἐποιήσατε, τοῦτον μὲν εὐθὺς ἀπήλασεν, ὡς προδότην, Ὑπερίδῃ δὲ λέγειν προσέταξε· καὶ ταῦτα ἀπὸ τοῦ βωμοῦ φέρουσα τὴν ψῆφον ἔπραξε· καὶ οὐδεμία ψῆφος ἠνέχθη τῷ μιαρῷ τούτῳ.

Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

« Μαρτυροῦσι Δημοσθένει ὑπὲρ ἁπάντων οἵδε· Καλλίας Σουνιεύς, Ζήνων Φλυεύς, Κλέων Φαληρεύς, Δημόνικος Μαραθώνιος, ὅτι τοῦ δήμου ποτὲ χειροτονήσαντος Αἰσχίνην σύνδικον ὑπὲρ τοῦ ἱεροῦ τοῦ ἐν Δήλῳ εἰς τοὺς Ἀμφικτύονας, συνεδρεύσαντες ἡμεῖς ἐκρίναμεν Ὑπερίδην ἄξιον εἶναι μᾶλλον ὑπὲρ τῆς πόλεως λέγειν· καὶ ἀπεστάλη Ὑπερίδης. »

Οὐκοῦν ὅτε, τούτου μέλλοντος λέγειν, ἀπήλασεν αὐτὸν ἡ βουλή, καὶ προσέταξεν ἑτέρῳ, τότε καὶ προδότην εἶναι καὶ κακόνουν ὑμῖν ἀπέφηνεν. Ἓν μὲν τοίνυν τοῦτο τοιοῦτο πολίτευμα

vous aviez abandonné cette affaire, le rejeta comme traître, et chargea Hypéride de parler à sa place. Le sénat prit les suffrages sur l'autel, et ce méchant homme n'en eut pas un seul.

Pour preuve de ce que je dis, greffier, citez les témoins.

TÉMOINS.

« Callias de Sunium, Zénon de Phlyes, Cléon de Phalère, Démonique de Marathon rendent témoignage à Démosthène, et attestent, au nom de leurs collègues, que, lorsque Eschine fut député par le peuple au conseil des Amphictyons, pour soutenir ses droits au temple de Délos, le sénat de l'Aréopage a jugé Hypéride plus digne de parler en faveur de la république. Et Hypéride a été chargé de cette mission. »

Lors donc qu'Eschine, chargé de parler pour le peuple, fut rejeté et remplacé par un autre, il fut déclaré par là traître à la patrie, et mal intentionné pour Athènes. Voilà donc de la part de cet audacieux

ἀπὸ ἧςπερ προΐεσθε
πολλὰ τῶν κοινῶν,
ὡς καὶ προείλεσθε ἐκείνην
καὶ ἐποιήσατε
κυρίαν τοῦ πράγματος,
εὐθὺς μὲν ἀπήλασε τοῦτον,
ὡς προδότην,
προσέταξε δὲ Ὑπερίδῃ λέγειν·
καὶ ἔπραξε ταῦτα
φέρουσα τὴν ψῆφον ἀπὸ τοῦ βωμοῦ·
καὶ οὐδεμία ψῆφος ἠνέχθη
τούτῳ τῷ μιαρῷ.

Καὶ ὅτι λέγω ταῦτα ἀληθῆ,
κάλει μοι
τοὺς μάρτυρας τούτων

par laquelle vous abandonnez
de nombreuses des choses communes,
dès-que et vous eûtes choisi celui-là
et l'eûtes-fait
maître de l'affaire,
aussitôt il rejeta celui-ci,
comme traître,
et enjoignit à Hypéride de parler;
et il fit ces choses
apportant le suffrage de l'autel;
et pas-un suffrage *ne* fut-apporté
pour celui-ci l'impur.

Et que je dis ces choses vraies,
appelle à moi
les témoins d'elles.

ΜΑΡΤΥΡΕΣ.

« Οἵδε μαρτυροῦσι
Δημοσθένει ὑπὲρ ἁπάντων·
Καλλίας Σουνιεύς, Ζήνων Φλυεύς,
Κλέων Φαληρεύς,
Δημόνικος Μαραθώνιος,
ὅτι τοῦ δήμου ποτὲ
χειροτονήσαντος Αἰσχίνην
σύνδικον ὑπὲρ τοῦ ἱεροῦ
τοῦ ἐν Δήλῳ
εἰς τοὺς Ἀμφικτύονας,
ἡμεῖς συνεδρεύσαντες
ἐκρίναμεν Ὑπερίδην
εἶναι μᾶλλον ἄξιον
λέγειν ὑπὲρ τῆς πόλεως·
καὶ Ὑπερίδης ἀπεστάλη. »

Οὐκοῦν ὅτε,
τούτου μέλλοντος λέγειν,
ἡ βουλὴ ἀπήλασεν αὐτόν,
καὶ προσέταξεν ἑτέρῳ,
τότε καὶ ἀπέφηνεν
εἶναι προδότην
καὶ κακόνουν ὑμῖν.
Ἓν μὲν τοίνυν πολίτευμα

TÉMOINS.

« Ceux-ci rendent-témoignage
à Démosthène pour tous :
Callias de-Sunium, Zénon de-Phlyes,
Cléon de-Phalère,
Démonique de-Marathon,
que le peuple un-jour
ayant-élu Eschine
syndic pour le temple
celui dans Délos
vers les Amphictyons,
nous ayant-siégé-ensemble,
nous avons jugé Hypéride
être plutôt digne
de parler pour la ville;
et Hypéride a-été-envoyé. »

Donc lorsque,
celui-ci devant parler,
le sénat a rejeté lui,
et a enjoint à un autre,
alors aussi il a manifesté
lui être traître
et malveillant *pour* vous.
Donc un acte-politique

τοῦ νεανίου τούτου, ὅμοιόν γε (οὐ γάρ;) οἷς ἐμοῦ κατηγορεῖ· ἕτερον δὲ ἀναμιμνήσκεσθε.

Ὅτε γὰρ Πύθωνα Φίλιππος ἔπεμψε τὸν Βυζάντιον, καὶ παρὰ τῶν αὐτοῦ συμμάχων πάντων συνέπεμψε πρέσβεις, ὡς ἐν αἰσχύνῃ ποιήσων τὴν πόλιν καὶ δείξων ἀδικοῦσαν, τότε ἐγὼ μὲν τῷ Πύθωνι θρασυνομένῳ, καὶ πολλῷ ῥέοντι κατ' ὑμῶν, οὐκ εἶξα, οὐδ' ὑπεχώρησα, ἀλλ' ἀναστὰς ἀντεῖπον, καὶ τὰ τῆς πόλεως δίκαια οὐχὶ προὔδωκα, ἀλλ' ἀδικοῦντα Φίλιππον ἐξήλεγξα φανερῶς, οὕτως ὥςτε τοὺς ἐκείνου συμμάχους αὐτοὺς ἀνισταμένους ὁμολογεῖν· οὗτος δὲ συνηγωνίζετο, καὶ τὰ ἐναντία ἐμαρτύρει τῇ πατρίδι, καὶ ταῦτα ψευδῆ.

Καὶ οὐκ ἀπέχρη ταῦτα· ἀλλὰ καὶ πάλιν μετὰ ταῦθ' ὕστερον, Ἀναξίνῳ τῷ κατασκόπῳ συνιὼν εἰς τὴν Θράσωνος οἰκίαν ἐλήφθη. Καίτοι ὅςτις τῷ ὑπὸ τῶν πολεμίων πεμφθέντι μόνος μόνῳ συνῄει

un trait semblable à ceux dont il m'accuse ; en voici encore un autre.

Quand Philippe envoya Python le Byzantin et avec lui les députés de tous ses alliés, dans le dessein de vous confondre et d'exposer vos torts, je ne cédai pas à l'éloquence impétueuse de Python, qui se répandait en invectives contre vous, je ne lui laissai pas le champ libre; mais je me levai, je pris la parole, je défendis avec ardeur les droits de ma patrie, et je prouvai si évidemment les torts de Philippe, que ses alliés eux-mêmes se levèrent et en convinrent avec moi. Pour Eschine, il secondait Python, il déposait contre vous et contre la vérité.

Ce n'est pas tout : on l'a surpris peu de temps après, se rendant chez Thrason avec l'espion Anaxine. Mais peut-on conférer tête à tête

τοῦτου τοῦ νεανίου,
τοῦτο τοιοῦτο ὅμοιόν γε
(οὐ γάρ;)
οἷς κατηγορεῖ ἐμοῦ·
ἀναμιμνήσκεσθε δὲ ἕτερον.
Ὅτε γὰρ Φίλιππος ἔπεμψε
Πύθωνα τὸν Βυζάντιον,
καὶ συνέπεμψε πρέσβεις
παρὰ πάντων τῶν συμμάχων
αὐτοῦ,
ὡς ποιήσων τὴν πόλιν
ἐν αἰσχύνῃ, καὶ δείξων
ἀδικοῦσαν,
ἐγὼ τότε οὐκ εἶξα,
οὐδὲ ὑπεχώρησα
τῷ Πύθωνι θρασυνομένῳ,
καὶ ῥέοντι πολλῷ
κατὰ ὑμῶν,
ἀλλὰ ἀναστὰς ἀντεῖπον,
καὶ οὐχὶ προὔδωκα
τὰ δίκαια τῆς πόλεως,
ἀλλὰ ἐξήλεγξα φανερῶς
Φίλιππον ἀδικοῦντα,
οὕτως ὥςτε
τοὺς συμμάχους αὐτοὺς ἐκείνου
ἀνισταμένους ὁμολογεῖν·
οὗτος δὲ συνηγωνίζετο,
καὶ ἐμαρτύρει
τὰ ἐναντία τῇ πατρίδι,
καὶ ταῦτα ψευδῆ.
Καὶ ταῦτα οὐκ ἀπέχρη·
ἀλλὰ καὶ πάλιν
ὕστερον μετὰ ταῦτα,
ἐλήφθη συνιὼν
Ἀναξίνῳ τῷ κατασκόπῳ[70]
εἰς τὴν οἰκίαν Θράσωνος.
Καίτοι ὅςτις συνῄει
τῷ πεμφθέντι
ὑπὸ τῶν πολεμίων
καὶ ἐκοινολογεῖτο μόνος μόνῳ,

de ce jeune-téméraire,
celui-ci tel *est* semblable certes
(car ne *l'est-il* pas?)
à ceux dont il accuse moi ;
mais rappelez-vous un autre.
Car lorsque Philippe envoya
Python le Byzantin,
et envoya-avec *lui* des députés
de-la-part de tous les alliés
de lui-même,
comme devant-faire la ville
être dans la honte, et devant montrer
elle agissant-injustement,
moi alors je ne cédai pas,
ni *ne* me-retirai *pas*
devant Python étant-audacieux,
et se répandant nombreux
contre vous,
mais m'étant-levé je répondis,
et je ne trahis pas
les droits de la ville,
mais je démontrai manifestement
Philippe agissant-injustement,
tellement que
les alliés mêmes de celui-là
se levant avouer ;
mais celui-ci combattait-avec *Python*,
et rendait-témoignage
des choses contraires à la patrie,
et celles-là fausses.
Et ces choses ne suffisaient pas;
mais encore de-nouveau
plus-tard après celles-là,
il fut-pris allant-avec
Anaxine l'espion
dans la maison de Thrason.
Cependant quiconque se réunissait
à celui ayant-été-envoyé
par les ennemis
et conversait seul *avec* seul,

καὶ ἐκοινολογεῖτο, οὗτος αὐτὸς ὑπῆρχε τῇ φύσει κατάσκοπος, καὶ πολέμιος τῇ πατρίδι.

Καὶ ὅτι ταῦτ' ἀληθῆ λέγω, κάλει μοι τούτων τοὺς μάρτυρας.

ΜΑΡΤΥΡΕΣ.

« Τελέδημος Κλέωνος, Ὑπερίδης Καλλαίσχρου, Νικόμαχος Διοφάντου, μαρτυροῦσι Δημοσθένει, καὶ ἐπωμόσαντο ἐπὶ τῶν στρατηγῶν εἰδέναι Αἰσχίνην Ἀτρομήτου Κοθωκίδην συνερχόμενον νυκτὸς εἰς τὴν Θράσωνος οἰκίαν, καὶ κοινολογούμενον Ἀναξίνῳ, ὃς ἐκρίθη εἶναι κατάσκοπος παρὰ Φιλίππου. Αὗται ἀπεδόθησαν αἱ μαρτυρίαι ἐπὶ Νικίου, Ἑκατομβαιῶνος τρίτῃ ἱσταμένου. »

Μυρία τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ, παραλείπω, καὶ γὰρ οὕτω πως ἔχει· πολλὰ ἂν ἐγὼ νῦν ἔτι τούτων ἔχοιμι δεῖξαι, ὧν οὗτος κατ' ἐκείνους τοὺς χρόνους τοῖς μὲν ἐχθροῖς ὑπηρετῶν, ἐμοὶ δ' ἐπηρεάζων εὑρέθη· ἀλλ' οὐ τίθεται ταῦτα παρ' ὑμῖν εἰς ἀκριβῆ μνήμην, οὐδ' ἣν προσῆκεν ὀργήν· ἀλλὰ δεδώκατε, ἔθει

avec l'espion des ennemis, sans être soi-même naturellement espion et ennemi de la république?

Pour preuve que je dis vrai, greffier, citez les témoins.

TÉMOINS.

« Télédème, fils de Cléon, Hypéride, fils de Callèschre, Nicomaque, fils de Diophante, après avoir déposé leurs serments entre les mains des généraux, attestent, en faveur de Démosthène, qu'ils ont vu Eschine, fils d'Atromète, de Cothoce, se rendre la nuit chez Thrason, et conférer avec Anaxine, convaincu juridiquement d'être un espion de Philippe. Ces témoignages ont été rendus sous l'archonte Nicias; le troisième jour du mois Hécatombéon. »

Il est, Athéniens, il est encore mille autres traits pareils que je pourrais rapporter, et que j'omets. Oui, je pourrais ajouter une infinité d'actions qu'on lui vit faire alors pour servir vos ennemis ou pour me nuire. Mais vous oubliez ces actions, et ne gardez pas toute

οὗτος αὐτὸς ὑπῆρχε	celui-ci même se trouvait
κατάσκοπος τῇ φύσει,	espion *par* la nature,
καὶ πολέμιος τῇ πατρίδι.	et ennemi de la patrie.
Καὶ ὅτι λέγω ταῦτα ἀληθῆ,	Et que je dis ces choses vraies,
κάλει μοι τοὺς μάρτυρας τούτων.	appelle à moi les témoins d'elles.
ΜΑΡΤΥΡΕΣ.	**TEMOINS.**
« Τελέδημος Κλέωνος,	« Télédème *fils* de Cléon,
Ὑπερίδης Καλλαίσχρου,	Hypéride de Callèschre,
Νικόμαχος Διοφάντου,	Nicomaque de Diophante,
μαρτυροῦσι Δημοσθένει,	rendent-témoignage à Démosthène,
καὶ ἐπωμόσαντο	et ont juré
ἐπὶ τῶν στρατηγῶν	devant les généraux
εἰδέναι Αἰσχίνην	avoir-vu Eschine
Ἀτρομήτου Κοθωκίδην	*fils* d'Atromète de-Cothoce
συνερχόμενον νυκτὸς	se rendant de-nuit
εἰς τὴν οἰκίαν Θράσωνος,	dans la maison de Thrason,
καὶ κοινολογούμενον Ἀναξίνῳ,	et conversant *avec* Anaxine,
ὃς ἐκρίθη εἶναι κατάσκοπος	qui a-été-jugé être un espion
παρὰ Φιλίππου.	de-la-part de Philippe.
Αὗται αἱ μαρτυρίαι	Ces témoignages
ἀπεδόθησαν ἐπὶ Νικίου,	ont-été-donnés sous Nicias,
τρίτῃ Ἑκατομβαιῶνος	le troisième d'Hécatombéon
ἱσταμένου. »	commençant. »
Ἔχων τοίνυν εἰπεῖν	Ayant donc à dire
μυρία ἕτερα περὶ αὐτοῦ,	dix-mille autres choses sur lui,
παραλείπω,	je *les* omets,
καὶ γὰρ ἔχει	et en-effet elles se trouvent
οὕτω πως·	ainsi en-quelque-façon;
ἐγὼ νῦν ἂν ἔχοιμι δεῖξαι	moi maintenant j'aurais à montrer
ἔτι πολλὰ τούτων,	encore de nombreuses de ces choses,
ὧν οὗτος εὑρέθη	*dans* lesquelles celui-ci a-été-trouve
κατὰ ἐκείνους τοὺς χρόνους,	dans ces temps,
ὑπηρετῶν μὲν τοῖς ἐχθροῖς,	servant les ennemis,
ἐπηρεάζων δὲ ἐμοί·	et nuisant à moi;
ἀλλὰ ταῦτα	mais ces choses
οὐ τίθεται παρὰ ὑμῖν	ne sont-pas-placées chez vous
εἰς μνήμην ἀκριβῆ	en une mémoire exacte
οὐδὲ ὀργὴν ἣν προσῆκεν·	ni *en* la colère qu'il convenait;
ἀλλὰ δεδώκατε,	mais vous avez donné,

τινὶ φαύλῳ, πολλὴν ἐξουσίαν τῷ βουλομένῳ τὸν λέγοντά τι τῶν ὑμῖν συμφερόντων ὑποσκελίζειν καὶ συκοφαντεῖν, τῆς ἐπὶ ταῖς λοιδορίαις ἡδονῆς καὶ χάριτος τὸ τῆς πόλεως συμφέρον ἀντικαταλλαττόμενοι. Διόπερ ῥᾷόν ἐστι καὶ ἀσφαλέστερον ἀεὶ τοῖς ἐχθροῖς ὑπηρετοῦντα μισθαρνεῖν, ἢ τὴν ὑπὲρ ὑμῶν ἑλόμενον τάξιν πολιτεύεσθαι.

Καὶ τὸ μὲν δή, πρὸ τοῦ πολεμεῖν, φανερῶς συναγωνίζεσθαι Φιλίππῳ, δεινὸν μέν, ὦ γῆ καὶ θεοί (πῶς γὰρ οὔ;), κατὰ τῆς πατρίδος. Δότε δ', εἰ βούλεσθε, δότε αὐτῷ τοῦτο. Ἀλλ' ἐπειδὴ φανερῶς ἤδη τὰ πλοῖα ἐσεσύλητο, Χερρόνησος ἐπορθεῖτο, ἐπὶ τὴν Ἀττικὴν ἐπορεύετ' ἄνθρωπος, οὐκέτ' ἐν ἀμφισβητησίμῳ τὰ πράγματα ἦν, ἀλλ' ἐνειστήκει πόλεμος, ὅ τι μὲν ἐν τῷ τότ' ἔπραξεν ὑπὲρ ὑμῶν ὁ βάσκανος οὗτοσὶ ἰαμβειοφάγος, οὐκ ἂν ἔχοι δεῖξαι· οὐδ' ἔστιν οὔτε μεῖζον οὔτ' ἔλαττον ψήφισμα οὐδὲν

la haine qu'elles méritent. Par un abus dangereux, vous permettez à tout orateur de supplanter et de calomnier celui qui ne parle que pour vous, sacrifiant le bien de l'État au plaisir d'entendre débiter des injures. Aussi est-il toujours plus facile, et plus sûr en même temps, de se mettre à la solde de vos ennemis, que de suivre un système d'administration propre à faire votre bien.

Avoir agi de concert avec Philippe, même avant que la guerre fût déclarée, c'est un crime énorme, grands dieux! c'était agir contre la patrie : pardonnez-lui néanmoins, si vous le trouvez bon, pardonnez-lui cet attentat. Mais, lorsqu'on nous prenait ouvertement nos vaisseaux, qu'on ravageait la Chersonèse, que l'ennemi marchait contre l'Attique, que ses projets n'étaient plus douteux, et qu'enfin la guerre était allumée, cet envieux compositeur de satires ne pourrait citer aucun service rendu pour lors à l'État. Non, on ne voit pas le moindre

τινὶ ἔθει φαύλῳ,
ἐξουσίαν πολλὴν
τῷ βουλομένῳ ὑποσκελίζειν
καὶ συκοφαντεῖν
τὸν λέγοντά τι
τῶν συμφερόντων ὑμῖν,
ἀντικαταλλαττόμενοι
τὸ συμφέρον τῆς πόλεως
τῆς ἡδονῆς καὶ χάριτος
ἐπὶ ταῖς λοιδορίαις.
Διόπερ ἐστὶν ἀεὶ
ῥᾷον καὶ ἀσφαλέστερον
μισθαρνεῖν
ὑπηρετοῦντα τοῖς ἐχθροῖς,
ἢ πολιτεύεσθαι
ἑλόμενον τὴν τάξιν
ὑπὲρ ὑμῶν.
Καὶ δὴ
τὸ μὲν συναγωνίζεσθαι Φιλίππῳ
πρὸ τοῦ πολεμεῖν,
δεινὸν μέν, ὦ γῆ καὶ θεοί
(πῶς γὰρ οὔ;),
κατὰ τῆς πατρίδος.
Δότε δέ, εἰ βούλεσθε,
δότε τοῦτο αὐτῷ.
Ἀλλὰ ἐπειδὴ φανερῶς ἤδη
τὰ πλοῖα ἐσεσύλητο,
Χερρόνησος ἐπορθεῖτο,
ὁ ἄνθρωπος ἐπορεύετο
ἐπὶ τὴν Ἀττικήν,
τὰ πράγματα οὐκ ἦν ἔτι
ἐν ἀμφισβητησίμῳ,
ἀλλὰ πόλεμος ἐνειστήκει,
οὗτοσὶ ὁ βάσκανος
ἰαμβειοφάγος
οὐκ ἂν ἔχοι δεῖξαι
ὅ τι μὲν ἔπραξεν ὑπὲρ ὑμῶν
ἐν τῷ τότε·
οὐδὲ οὐδὲν ψήφισμα,
οὔτε μεῖζον, οὔτε ἔλαττον,

par une certaine habitude mauvaise,
une faculté grande
à celui voulant supplanter
et calomnier
celui disant quelqu'une
des choses important à vous,
recevant-en-échange
de l'intérêt de la ville
le plaisir et le charme
dans les invectives.
C'est pourquoi il est toujours
plus-facile et plus-sûr
de recevoir-un-salaire
servant les ennemis,
que d'administrer
ayant-préféré le système
en-faveur de vous.
Et certes
le faire-des-efforts-avec Philippe
avant le combattre,
est affreux, ô terre et dieux
(car comment non?),
contre la patrie.
Mais pardonnez, si vous voulez,
pardonnez ceci à lui.
Mais après-que manifestement déjà
les navires avaient-été-pillés,
que la Chersonèse était-ravagée,
que l'homme marchait
contre l'Attique,
que les affaires n'étaient plus
dans une *position* sujette-à-doute,
mais *que* la guerre était-présente,
celui-ci l'envieux
mangeur-d'iambes
n'aurait pas à montrer
ce qu'il a fait pour vous
dans le *temps* alors;
ni aucun décret,
ni plus-grand, ni plus-petit,

Αἰσχίνῃ περὶ τῶν συμφερόντων τῇ πόλει. Εἰ δέ φησι, νῦν δειξάτω ἐν τῷ ἐμῷ ὕδατι. Ἀλλ' οὐκ ἔστιν οὐδέν. Καίτοι δυοῖν αὐτὸν ἀνάγκη θάτερον, ἢ μηδὲν τοῖς πραττομένοις ὑπ' ἐμοῦ τότ' ἔχοντ' ἐγκαλεῖν, μὴ γράφειν παρὰ ταῦθ' ἕτερα, ἢ τὸ τῶν ἐχθρῶν συμφέρον ζητοῦντα, μὴ φέρειν εἰς μέσον τὰ τούτων ἀμείνω.

Καὶ λέγε ταῦτά μοι	Et lis ces *pièces* à moi
λαβών.	*les* ayant-prises.

ΨΗΦΙΣΜΑ.	DÉCRET.
« Ἐπὶ Ἡροπύθου ἄρχοντος,	« Sous Héropythe archonte,
ἕκτῃ μηνὸς Ἐλαφηβολιῶνος	le sixième du mois Élaphébolion
φθίνοντος,	décroissant,
φυλῆς Ἐρεχθηΐδος	la tribu Érechthéide
πρυτανευούσης,	ayant-la-prytanie,
γνώμῃ βουλῆς	de l'avis du sénat
καὶ στρατηγῶν·	et des généraux :
ἐπειδὴ Φίλιππος κατείληφεν	puisque Philippe a pris
ἃς μὲν πόλεις τῶν ἀστυγειτόνων,	quelques villes des limitrophes,
πορθεῖ δέ τινας,	et ravage quelques-unes,
κεφαλαίῳ δέ,	et en-résumé,
παρασκευάζεται παραγίγνεσθαι	se prépare à s'approcher
ἐπὶ τὴν Ἀττικήν,	vers l'Attique,
ἡγούμενος παρὰ οὐδὲν	estimant pour rien
τὰς συνθήκας ἡμετέρας,	les conventions nôtres,
καὶ ἐπιβάλλεται λύειν	et se porte à rompre
τοὺς ὅρκους καὶ τὴν εἰρήνην,	les serments et la paix,
παραβαίνων	transgressant
τὰς πίστεις κοινάς·	les assurances communes ;
δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ	avoir-paru-bon au sénat et au peuple
πέμπειν πρὸς αὐτὸν πρέσβεις,	d'envoyer vers lui des députés,
οἵτινες διαλέξονται αὐτῷ	lesquels converseront *avec* lui
καὶ παρακαλέσουσιν αὐτόν,	et exhorteront lui,
μάλιστα μὲν διατηρεῖν	surtout à conserver
τὴν ὁμόνοιαν πρὸς ἡμᾶς	la concorde envers nous
καὶ τὰς συνθήκας·	et les conventions ;
εἰ δὲ μή,	mais si non,

λεύσασθαι δοῦναι χρόνον τῇ πόλει, καὶ τὰς ἀνοχὰς ποιήσασθαι, μέχρι τοῦ Θαργηλιῶνος μηνός· ἡρέθησαν ἐκ τῆς βουλῆς Σῖμος Ἀναγυράσιος, Εὐθύδημος Φλυάσιος, Βουλαγόρας Ἀλωπεκῆθεν.

ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

« Ἐπὶ ἄρχοντος Ἡροπύθου, μηνὸς Μουνυχιῶνος ἕνῃ καὶ νέᾳ, πολεμάρχου γνώμῃ· ἐπειδὴ Φίλιππος εἰς ἀλλοτριότητα Θηβαίους πρὸς ἡμᾶς ἐπιβάλλεται καταστῆσαι, παρεσκεύασται δὲ καὶ παντὶ τῷ στρατεύματι πρὸς τοὺς ἔγγιστα τῆς Ἀττικῆς παραγίγνεσθαι τόπους, παραβαίνων τὰς πρὸς ἡμᾶς ὑπαρχούσας αὐτῷ συνθήκας· δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ, πέμψαι πρὸς αὐτὸν κήρυκα καὶ πρέσβεις, οἵτινες ἀξιώσουσι καὶ παρακαλέσουσιν αὐτὸν ποιήσασθαι τὰς ἀνοχάς, ὅπως ἐνδεχομένως ὁ δῆμος βουλεύσηται· καὶ γὰρ νῦν οὐ κέκρικε βοηθεῖν ἐν οὐδενὶ τῶν μετρίων· ἡρέθησαν ἐκ τῆς βουλῆς Νέαρχος Σωσινόμου, Πολυκράτης Ἐπίφρονος, καὶ κῆρυξ Εὔνομος Ἀναφλύστιος ἐκ τοῦ δήμου. »

Λέγε δὴ καὶ τὰς ἀποκρίσεις.

temps de délibérer, et de lui accorder une suspension d'armes jusqu'au mois de Thargélion. Ont été choisis pour députés les sénateurs Simos d'Anagyruse, Euthydème de Phlyes et Boulagore d'Alopèque. »

SECOND DÉCRET.

« Sous l'archonte Héropythe, le dernier du mois Munichion, de l'avis du polémarque : attendu que Philippe entreprend de nous aliéner l'esprit des Thébains, et que, contre la foi des traités, il prend des dispositions pour rapprocher son armée des lieux les plus voisins de l'Attique, il a plu au sénat et au peuple de lui envoyer un héraut d'armes et des députés pour le prier et le presser de nous accorder une suspension d'armes, afin que nous puissions, autant que possible, délibérer sur nos affaires ; car, jusqu'à présent, le peuple n'a pas cru devoir commettre le moindre acte d'hostilité. Ont été choisis pour députés, parmi le sénat, Néarque, fils de Sosinome, Polycrate, fils d'Épiphron, et pour héraut, parmi le peuple, Eunome d'Anaphlyste. »

Lisez aussi les réponses de Philippe.

δοῦναι χρόνον τῇ πόλει
πρὸς τὸ βουλεύσασθαι,
καὶ ποιήσασθαι τὰς ἀνοχάς,
μέχρι τοῦ μηνὸς Θαργηλιῶνος·
ἡρέθησαν ἐκ τῆς βουλῆς
Σῖμος Ἀναγυράσιος,
Εὐθύδημος Φλυάσιος,
Βουλαγόρας Ἀλωπεκῆθεν. »

à donner du temps à la ville
pour le délibérer,
et à faire les suspensions *d'armes*,
jusqu'au mois Thargélion ;
ont-été-choisis de-parmi le sénat
Simos d'Anagyruse,
Euthydème de-Phlyes,
Boulagore d'Alopèque. »

ΕΤΕΡΟΝ ΨΗΦΙΣΜΑ.

« Ἐπὶ Ἡροπύθου ἄρχοντος,
ἕνῃ καὶ νέᾳ
μηνὸς Μουνυχιῶνος,
γνώμῃ πολεμάρχου·
ἐπειδὴ Φίλιππος ἐπιβάλλεται
καταστῆσαι Θηβαίους
εἰς ἀλλοτριότητα πρὸς ἡμᾶς,
παρεσκεύασται δὲ καὶ
παραγίγνεσθαι
παντὶ τῷ στρατεύματι
πρὸς τοὺς τόπους
ἔγγιστα τῆς Ἀττικῆς,
παραβαίνων τὰς συνθήκας
ὑπαρχούσας αὐτῷ πρὸς ἡμᾶς·
δεδόχθαι τῇ βουλῇ καὶ τῷ δήμῳ,
πέμψαι πρὸς αὐτὸν
κήρυκα καὶ πρέσβεις,
οἵτινες ἀξιώσουσι
καὶ παρακαλέσουσιν αὐτὸν
ποιήσασθαι τὰς ἀνοχάς,
ὅπως ὁ δῆμος
βουλεύσηται ἐνδεχομένως·
καὶ γὰρ νῦν
οὐ κέκρικε βοηθεῖ.
ἐν οὐδενὶ τῶν μετρίων
ἡρέθησαν εκ τῆς βουλῆς
Νέαρχος Σωσινόμου,
Πολυκράτης Ἐπίφρονος,
καὶ Εὔνομος Ἀναφλύστιος
κῆρυξ ἐκ τοῦ δήμου. »

Λέγε δὴ καὶ τὰς ἀποκρίσεις.

AUTRE DÉCRET.

« Sous Héropythe archonte,
l'ancien et nouveau *jour*
du mois Munychion,
de l'avis du polémarque :
puisque Philippe s'efforce
de placer les Thébains
en mauvaise-intelligence envers nous
et s'est-préparé aussi
à se rapprocher
avec toute l'armée
vers les lieux
le-plus-près de l'Attique,
transgressant les conventions
existant à lui envers nous ;
avoir-paru-bon au sénat et au peuple,
d'envoyer vers lui
un héraut et des députés,
lesquels demanderont
et exhorteront lui
à faire les suspensions *d'armes*,
afin-que le peuple
délibère éventuellement ;
et en-effet jusqu'-à-présent
il n'a pas décidé de secourir
dans aucune des choses modérées ;
ont-été-choisis de-parmi le sénat,
Néarque *fils* de Sosinome,
Polycrate *fils* d'Épiphron,
et Eunome d'-Anaphlyste
héraut de-parmi le peuple. »

Or dis aussi les réponses.

ΑΠΟΚΡΙΣΙΣ ΑΘΗΝΑΙΟΙΣ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν.

« Ἣν μὲν ἀπ' ἀρχῆς εἴχετε πρὸς ἡμᾶς αἵρεσιν, οὐκ ἀγνοῶ, καὶ τίνα σπουδὴν ποιεῖσθε, προςκαλέσασθαι βουλόμενοι Θετταλοὺς καὶ Θηβαίους, ἔτι δὲ καὶ Βοιωτούς· βέλτιον δ' αὐτῶν φρονούντων, καὶ μὴ βουλομένων ἐφ' ὑμῖν ποιήσασθαι τὴν ἑαυτῶν αἵρεσιν, ἀλλὰ κατὰ τὸ συμφέρον ἱσταμένων, νῦν ἐξ ὑποστροφῆς ἀποστείλαντες ὑμεῖς πρός με πρέσβεις καὶ κήρυκα, συνθηκῶν μνημονεύετε, καὶ τὰς ἀνοχὰς αἰτεῖσθε, κατ' οὐδὲν ὑφ' ἡμῶν πεπλημμελημένοι. Ἐγὼ μέντοι ἀκούσας τῶν πρεσβευτῶν, συγκατατίθεμαι τοῖς παρακαλουμένοις, καὶ ἕτοιμός εἰμι ποιεῖσθαι τὰς ἀνοχάς, ἄνπερ τοὺς οὐκ ὀρθῶς συμβουλεύοντας ὑμῖν παραπέμψαντες, τῆς προσηκούσης ἀτιμίας ἀξιώσητε. Ἔρρωσθε. »

RÉPONSE AUX ATHÉNIENS.

« Philippe, roi de Macédoine, au sénat et au peuple d'Athènes, salut.

« Je n'ignore pas la disposition où vous êtes depuis longtemps à mon égard, ni les efforts que vous faites pour attirer dans votre parti les Thessaliens, les Thébains et les Béotiens; mais comme ces peuples sont trop éclairés sur leurs intérêts pour vous rendre les arbitres de leurs actions, vous changez tout à coup d'avis, vous m'envoyez des députés et un héraut, pour me rappeler le traité, et me demander une suspension d'armes, quoique vous n'ayez éprouvé de ma part aucun acte d'hostilité. Cependant, après avoir entendu vos ambassadeurs, je souscris à vos demandes, et je suis prêt à vous accorder une trève, pourvu que vous éloigniez les orateurs qui vous donnent de mauvais conseils, et que vous leur infligiez la peine infamante qu'ils méritent. Salut. »

ΑΠΟΚΡΙΣΙΣ ΑΘΗΝΑΙΟΙΣ.	RÉPONSE AUX ATHÉNIENS.
« Φίλιππος βασιλεὺς Μακεδόνων	« Philippe roi des Macédoniens
τῇ βουλῇ	au sénat
καὶ τῷ δήμῳ Ἀθηναίων,	et au peuple des Athéniens,
χαίρειν.	salut.
« Οὐκ ἀγνοῶ μὲν	« Je n'ignore pas
ἣν αἵρεσιν εἴχετε	quelle volonté vous aviez
ἀπὸ ἀρχῆς πρὸς ἡμᾶς,	dès le principe envers nous,
καὶ τίνα σπουδὴν ποιεῖσθε,	et quel effort vous faites,
βουλόμενοι προςκαλέσασθαι	voulant appeler vers *vous*
Θετταλοὺς	les Thessaliens
καὶ Θηβαίους,	et les Thébains,
ἔτι δὲ καὶ Βοιωτούς·	et encore aussi les Béotiens;
αὐτῶν δὲ φρονούντων βέλτιον,	mais eux pensant mieux,
καὶ μὴ βουλομένων	et ne voulant pas
ποιήσασθαι ἐπὶ ὑμῖν	mettre sous vous
τὴν αἵρεσιν ἑαυτῶν,	la volonté d'eux-mêmes,
ἀλλὰ ἱσταμένων	mais se tenant
κατὰ τὸ συμφέρον,	selon l'intérêt,
ὑμεῖς νῦν	vous maintenant
ἀποστείλαντες πρός με	ayant-envoyé vers moi
ἐξ ὑποστροφῆς	d'après un retour
πρέσβεις καὶ κήρυκα,	des députés et un héraut,
μνημονεύετε συνθηκῶν,	vous rappelez les conventions,
καὶ αἰτεῖσθε τὰς ἀνοχάς,	et demandez les suspensions *d'armes*
πεπλημμελημένοι	*n'*ayant-été-lésés
κατὰ οὐδὲν ὑπὸ ἡμῶν.	en rien par nous.
Ἐγὼ μέντοι	Moi cependant
ἀκούσας τῶν πρεσβευτῶν,	ayant-entendu les députés,
συγκατατίθεμαι	je me-range-avec *vous*
τοῖς παρακαλουμένοις,	aux choses étant-demandées,
καί εἰμι ἕτοιμος	et suis prêt
ποιεῖσθαι τὰς ἀνοχάς,	à faire les supensions *d'armes*,
ἄνπερ παραπέμψαντες	si-toutefois ayant-éloigné
τοὺς συμβουλεύοντας ὑμῖν	ceux conseillant à vous
οὐκ ὀρθῶς,	non droitement,
ἀξιώσητε	vous *les* jugez-dignes
τῆς ἀτιμίας προςηκούσης.	de l'infamie convenant.
Ἔρρωσθε. »	Adieu. »

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΟΙΣ.

« Βασιλεὺς Μακεδόνων Φίλιππος Θηβαίων τῇ βουλῇ καὶ τῷ δήμῳ, χαίρειν.

« Ἐκομισάμην τὴν παρ' ὑμῶν ἐπιστολήν, δι' ἧς μοι τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην ἀνανεοῦσθε. Πυνθάνομαι μέντοι διότι πᾶσαν ὑμῖν Ἀθηναῖοι προςφέρονται φιλοτιμίαν, βουλόμενοι ὑμᾶς συγκαταίνους γενέσθαι τοῖς ὑπ' αὐτῶν παρακαλουμένοις. Πρότερον μὲν οὖν ὑμῶν κατεγίγνωσκον, ἐπὶ τῷ μέλλειν πείθεσθαι ταῖς ἐκείνων ἐλπίσι, καὶ ἐπακολουθεῖν αὐτῶν τῇ προαιρέσει· νῦν δ' ἐπιγνοὺς ὑμᾶς τὴν πρὸς ἡμᾶς ἐζητηκότας ἔχειν εἰρήνην μᾶλλον ἢ ταῖς ἑτέρων ἐπακολουθεῖν γνώμαις, ἥσθην, καὶ μᾶλλον ὑμᾶς ἐπαινῶ κατὰ πολλά, μάλιστα δ' ἐπὶ τῷ βουλεύσασθαι περὶ τούτων ἀσφαλέστερον, καὶ τὰ πρὸς ἡμᾶς ἔχειν ἐν εὐνοίᾳ· ὅπερ οὐ μικρὰν ὑμῖν οἴσειν ἐλπίζω ῥοπήν, ἐάν περ ἐπὶ ταύτης μένητε τῆς προθέσεως. Ἔῤῥωσθε. »

RÉPONSE AUX THÉBAINS.

« Philippe, roi de Macédoine, au sénat et au peuple de Thèbes, salut.

« J'ai reçu la lettre que vous m'avez écrite, et par laquelle vous me renouvelez l'assurance de l'union et de la paix que nous avons jurées. J'apprends toutefois que les Athéniens vous font les plus grandes démonstrations d'amitié, pour vous engager à souscrire à leurs demandes. Je croyais d'abord que, séduits par leurs folles espérances, vous vous rangeriez de leur côté; mais comme je vois aujourd'hui que vous aimez mieux garder la paix avec moi que de vous laisser guider par l'instigation d'autrui, je ressens une véritable joie. Je trouve votre conduite louable sous bien des rapports, mais principalement parce que vous avez choisi le parti le plus sûr, et que vous continuez à me conserver votre affection. J'espère que cette conduite ne vous procurera pas peu d'avantages, si vous persistez dans les mêmes résolutions. Salut. »

ΑΠΟΚΡΙΣΙΣ ΘΗΒΑΙΟΙΣ.	RÉPONSE AUX THÉBAINS
« Φίλιππος	« Philippe
βασιλεὺς Μακεδόνων τῇ βουλῇ	roi des Macédoniens au sénat
καὶ τῷ δήμῳ Θηβαίων,	et au peuple des Thébains,
χαίρειν.	salut.
« Ἐκομισάμην	« J'ai reçu
τὴν ἐπιστολὴν παρὰ ὑμῶν,	la lettre de-la-part-de vous,
διὰ ἧς ἀνανεοῦσθέ μοι	par laquelle vous renouvelez à moi
τὴν ὁμόνοιαν καὶ τὴν εἰρήνην.	la concorde et la paix.
Πυνθάνομαι μέντοι	J'apprends cependant
διότι Ἀθηναῖοι	que les Athéniens
προςφέρονται ὑμῖν	témoignent à vous
πᾶσαν φιλοτιμίαν, βουλόμενοι ὑμᾶς	une entière amitié, voulant vous
γενέσθαι συγκαταίνους	devenir consentants
τοῖς παρακαλουμένοις ὑπὸ αὐτῶν.	aux choses étant-demandées par eux.
Πρότερον μὲν οὖν	Précédemment donc
κατεγίγνωσκον ὑμῶν,	je blâmais vous,
ἐπὶ τῷ μέλλειν πείθεσθαι	sur le devoir être-persuadés
ταῖς ἐλπίσιν ἐκείνων,	*par* les espérances de ceux-là,
καὶ ἐπακολουθεῖν	et suivre
τῇ προαιρέσει αὐτῶν·	le parti d'eux;
νῦν δὲ ἐπιγνοὺς	mais maintenant ayant-reconnu
ὑμᾶς ἐζητηκότας ἔχειν	vous ayant-cherché à avoir
τὴν εἰρήνην πρὸς ἡμᾶς	la paix envers nous
μᾶλλον ἢ ἐπακολουθεῖν	plutôt que de suivre
ταῖς γνώμαις ἑτέρων,	les opinions d'autres,
ἥσθην,	je me-suis-réjoui,
καὶ ἐπαινῶ μᾶλλον ὑμᾶς	et je loue plutôt vous
κατὰ πολλά,	quant-à des choses nombreuses,
μάλιστα δὲ	mais surtout
ἐπὶ τῷ βουλεύσασθαι	sur le avoir-décidé
ἀσφαλάστερον περὶ τούτων,	plus-sûrement sur ces *affaires*,
καὶ ἔχειν ἐν εὐνοίᾳ	et avoir en bienveillance
τὰ πρὸς ἡμᾶς·	les choses envers nous;
ὅπερ ἐλπίζω οἴσειν ὑμῖν	*ce* que j'espère devoir-apporter à vous
ὀοπὴν οὐ μικράν",	un avantage non petit,
ἐάνπερ μένητε	si-toutefois vous restez
ἐπὶ ταύτης τῆς προθέσεως.	dans cette disposition.
Ἔῤῥωσθε. »	Adieu. »

Οὕτω διαθεὶς ὁ Φίλιππος τὰς πόλεις πρὸς ἀλλήλας διὰ τούτων, καὶ τούτοις ἐπαρθεὶς τοῖς ψηφίσμασι καὶ ταῖς ἀποκρισεσιν, ἧκεν ἔχων τὴν δύναμιν, καὶ τὴν Ἐλάτειαν κατέλαβεν, ὡς οὐδ' ἄν, εἴ τι γένοιτο, ἔτι συμπνευσόντων ὑμῶν καὶ τῶν Θηβαίων. Ἀλλὰ μὴν τὸν τότε συμβάντα ἐν τῇ πόλει θόρυβον ἴστε μὲν ἅπαντες· μικρὰ δ' ἀκούσατε ὅμως, αὐτὰ τἀναγκαιότατα.

Ἑσπέρα μὲν γὰρ ἦν· ἧκε δ' ἀγγέλλων τις ὡς τοὺς πρυτάνεις, ὡς Ἐλάτεια κατείληπται. Καὶ μετὰ ταῦτα, οἱ μὲν εὐθὺς ἐξαναστάντες μεταξὺ δειπνοῦντες, τούς τ' ἐκ τῶν σκηνῶν τῶν κατὰ τὴν ἀγορὰν ἐξεῖργον, καὶ τὰ γέρρα ἐνεπίμπρασαν· οἱ δὲ τοὺς στρατηγοὺς μετεπέμποντο, καὶ τὸν σαλπιγκτὴν ἐκάλουν· καὶ θορύβου πλήρης ἦν ἡ πόλις. Τῇ δ' ὑστεραίᾳ ἅμα τῇ ἡμέρᾳ, οἱ μὲν πρυτάνεις τὴν βουλὴν ἐκάλουν εἰς τὸ βουλευτήριον, ὑμεῖς

Philippe, content d'avoir indisposé l'une contre l'autre les deux républiques, par l'entremise des traîtres, fier de nos décrets et de ses réponses, s'avance à la tête d'une armée et s'empare d'Élatée. Il pensait que les Thébains et vous, quoi qu'il pût entreprendre, ne vous uniriez jamais contre lui. Vous savez tous l'alarme qui se répandit alors dans cette ville; écoutez néanmoins quelques circonstances, seulement les plus nécessaires.

Il était déjà tard; un courrier vient annoncer aux prytanes la prise d'Élatée. Aussitôt, les uns se lèvent de table, courent à la place publique, en chassent les marchands, mettent le feu à leurs étalages, les autres envoient chercher les généraux, ordonnent au trompette de donner le signal : toute la ville était pleine de tumulte. Le lendemain, dès le point du jour, les prytanes convoquent les sénateurs

Ὁ Φίλιππος	Philippe
διαθεὶς οὕτω τὰς πόλεις	ayant-disposé ainsi les villes
πρὸς ἀλλήλας	envers les-unes-les-autres
διὰ τούτων,	au-moyen-de ceux-ci
καὶ ἐπαρθεὶς	et ayant-été-exalté
τούτοις τοῖς ψηφίσμασι	*par* ces décrets
καὶ ταῖς ἀποκρίσεσιν,	et ces réponses,
ἧκεν ἔχων τὴν δύναμιν,	vint ayant l'armée,
καὶ κατέλαβε τὴν Ἐλάτειαν,	et prit Élatée,
ὡς ὑμῶν	comme vous
καὶ τῶν Θηβαίων	et les Thébains
οὐδὲ ἂν συμπνευσόντων ἔτι,	ne devant-conspirer plus-*jamais*,
εἴ τι γένοιτο.	si quelque chose arrivait.
Ἀλλὰ μὴν ἅπαντες μὲν ἴστε	Mais certes tous vous savez
τὸν θόρυβον συμβάντα τότε	le trouble étant-arrivé alors
ἐν τῇ πόλει·	dans la ville;
ὅμως δὲ	mais cependant
ἀκούσατε μικρά,	écoutez des choses peu-nombreuses,
τὰ ἀναγκαιότατα αὐτά	les plus nécessaires seules.
Ἦν μὲν γὰρ ἑσπέρα·	Car il était soir;
τὶς δὲ ἧκεν ὡς τοὺς πρυτάνεις,	et quelqu'un vint vers les prytanes,
ἀγγέλλων	annonçant
ὡς Ἐλάτεια κατείληπται.	qu'Élatée a-été-prise.
Καὶ μετὰ ταῦτα,	Et après ces choses,
οἱ μὲν ἐξαναστάντες εὐθὺς	les uns s'étant-levés aussitôt
μεταξὺ δειπνοῦντες [18],	au-milieu-de soupant,
ἐξεῖργόν τε τοὺς	et expulsèrent les *marchands*
ἐκ τῶν σκηνῶν	hors des tentes
τῶν κατὰ τὴν ἀγοράν,	celles sur la place,
καὶ ἐνεπίμπρασαν τὰ γέρρα·	et incendièrent les auvents;
οἱ δὲ μετεπέμποντο	les autres envoyèrent-chercher
τοὺς στρατηγούς,	les généraux,
καὶ ἐκάλουν τὸν σαλπιγκτήν·	et appelèrent le trompette;
καὶ ἡ πόλις	et la ville
ἦν πλήρης θορύβου.	était pleine de trouble.
Τῇ δὲ ὑστεραίᾳ	Mais au lendemain
ἅμα τῇ ἡμέρᾳ,	avec le jour,
οἱ μὲν πρυτάνεις	les prytanes
ἐκάλουν τὴν βουλὴν	appelèrent le sénat
εἰς τὸ βουλευτήριον,	dans la salle-du-conseil,

δ' εἰς τὴν ἐκκλησίαν ἐπορεύεσθε· καὶ πρὶν ἐκείνην χρηματίσαι καὶ προβουλεῦσαι, πᾶς ὁ δῆμος ἄνω καθῆτο. Καὶ μετὰ ταῦτα ὡς εἰςῆλθεν ἡ βουλή, καὶ ἀπήγγειλαν οἱ πρυτάνεις τὰ προςηγγελμένα ἑαυτοῖς, καὶ τὸν ἥκοντα παρήγαγον, κἀκεῖνος εἶπεν, ἠρώτα μὲν ὁ κήρυξ· « Τίς ἀγορεύειν βούλεται; » παρῆει δ' οὐδείς. Πολλάκις δὲ τοῦ κήρυκος ἐρωτῶντος, οὐδὲν μᾶλλον ἀνίστατ' οὐδείς, ἁπάντων μὲν τῶν στρατηγῶν παρόντων, ἁπάντων δὲ τῶν ῥητόρων, καλούσης δὲ τῆς πατρίδος τῇ κοινῇ φωνῇ τὸν ἐροῦνθ' ὑπὲρ σωτηρίας· ἣν γὰρ ὁ κήρυξ κατὰ τοὺς νόμους φωνὴν ἀφίησι, ταύτην κοινὴν τῆς πατρίδος δίκαιόν ἐστιν ἡγεῖσθαι. Καίτοι εἰ μὲν τοὺς σωθῆναι τὴν πόλιν βουλομένους παρελθεῖν ἔδει, πάντες ἂν ὑμεῖς καὶ οἱ ἄλλοι Ἀθηναῖοι ἀναστάντες, ἐπὶ τὸ βῆμα ἐβαδίζετε· πάντες γὰρ εὖ οἶδ' ὅτι σωθῆναι αὐτὴν ἠβού-

dans le lieu de leur assemblée; vous, Athéniens, vous vous rendez aussi dans le lieu de la vôtre; et, avant que le sénat eût eu le temps de rien arrêter, tout le peuple avait déjà pris ses places. Après quoi, dès que les sénateurs parurent, que les prytanes eurent annoncé la nouvelle, présenté le courrier qui l'apportait, que celui-ci eut été entendu; le héraut s'écrie : Qui veut monter à la tribune? Personne ne se présentait. Il recommence à plusieurs reprises. Personne ne se levait, quoique tous les généraux et tous les orateurs fussent présents, quoique la patrie demandât, à haute voix, un avis salutaire; car c'est la patrie elle-même qui parle, lorsque le héraut se fait entendre au nom des lois. Cependant, si c'était à ceux qui voulaient le salut de la patrie de se présenter dans cette circonstance, vous qui m'écoutez, et les autres Athéniens, vous levant aussitôt, vous seriez tous montés à la tribune, puisque tous vous vouliez également le salut de la républi-

ὑμεῖς δὲ ἐπορεύεσθε	et vous vous allâtes
εἰς τὴν ἐκκλησίαν·	à l'assemblée;
καὶ πρὶν ἐκείνην χρηματίσαι	et avant celui-là avoir-délibéré
καὶ προβουλεῦσαι,	et avoir-décrété-préliminairement,
πᾶς ὁ δῆμος καθῆτο ἄνω[79].	tout le peuple était-assis en-haut.
Καὶ μετὰ ταῦτα,	Et après ces choses,
ὡς ἡ βουλὴ εἰςῆλθε,	dès-que le sénat fut entré,
καὶ οἱ πρυτάνεις ἀπήγγειλαν	et *que* les prytanes eurent annoncé
τὰ προςηγγελμένα	les choses ayant-été annoncées
ἑαυτοῖς,	à eux-mêmes,
καὶ παρήγαγον τὸν ἥκοντα,	et eurent introduit celui arrivant,
καὶ ἐκεῖνος εἶπεν,	et *que* celui-là eut parlé,
ὁ μὲν κήρυξ ἠρώτα·	le héraut interrogea :
« Τίς βούλεται ἀγορεύειν; »	« Qui veut haranguer? »
οὐδεὶς δὲ παρῆει.	mais personne *ne* s'avançait.
Τοῦ δὲ κήρυκος	Et le héraut
ἐρωτῶντος πολλάκις,	interrogeant souvent,
οὐδεὶς ἀνίστατο	personne *ne* se leva
οὐδὲν μᾶλλον,	*en* rien davantage,
ἁπάντων μὲν τῶν στρατηγῶν	tous les généraux
παρόντων,	étant-présents,
ἁπάντων δὲ τῶν ῥητόρων,	et tous les orateurs,
τῆς δὲ πατρίδος καλούσης	et la patrie appelant
τῇ φωνῇ κοινῇ	*par* la voix commune
τὸν ἐροῦντα	celui devant-parler
ὑπὲρ σωτηρίας·	pour le salut;
ἔστι γὰρ δίκαιον ἡγεῖσθαι	car il est juste de croire
ταύτην φωνὴν	cette voix
ἣν ὁ κήρυξ ἀφίησι	que le héraut émet
κατὰ τοὺς νόμους	selon les lois
κοινὴν τῆς πατρίδος.	*voix* commune de la patrie.
Καίτοι εἰ μὲν ἔδει τοὺς βουλομένους	Cependant s'il fallait ceux voulant
τὴν πόλιν σωθῆναι	la ville être-sauvée
παρελθεῖν, πάντες ὑμεῖς	s'avancer, vous tous
καὶ οἱ ἄλλοι Ἀθηναῖοι	et les autres Athéniens
ἀναστάντες,	vous étant levés,
ἐβαδίζετε ἂν ἐπὶ τὸ βῆμα·	vous auriez marché vers la tribune;
Οἶδα γὰρ εὖ	car je sais bien
ὅτι πάντες ἠβούλεσθε	que tous vous vouliez
αὐτὴν σωθῆναι·	elle être-sauvée;

λεσθε· εἰ δὲ τοὺς πλουσιωτάτους, οἱ τριακόσιοι· εἰ δὲ τοὺς ἀμφότερα ταῦτα, καὶ εὐνοῦς τῇ πόλει καὶ πλουσίους, οἱ μετὰ ταῦτα τὰς μεγάλας ἐπιδόσεις ἐπιδόντες· καὶ γὰρ εὐνοίᾳ καὶ πλούτῳ τοῦτ' ἐποίησαν. Ἀλλ', ὡς ἔοικεν, ἐκεῖνος ὁ καιρός, καὶ ἡ ἡμέρα ἐκείνη, οὐ μόνον εὔνουν καὶ πλούσιον ἄνδρα ἐκάλει, ἀλλὰ καὶ παρηκολουθηκότα τοῖς πράγμασιν ἐξ ἀρχῆς, καὶ συλλελογισμένον ὀρθῶς τίνος ἕνεκα ταῦτ' ἔπραττεν ὁ Φίλιππος, καὶ τί βουλόμενος. Ὁ γὰρ μὴ ταῦτ' εἰδώς, μήτ' ἐξηταχὼς πόρρωθεν ἐπιμελῶς, οὔτ' εἰ εὔνους ἦν, οὔτ' εἰ πλούσιος, οὐδὲν μᾶλλον ἤμελλεν, ὅ τι χρὴ ποιεῖν, εἴσεσθαι, οὐδ' ὑμῖν ἔξειν συμβουλεύειν. Ἐφάνην τοίνυν οὗτος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐγώ· καὶ παρελθών, εἶπον εἰς ὑμᾶς ἃ μου δυοῖν ἕνεκ' ἀκούσατε, προσέχοντες τὸν νοῦν· ἑνὸς μέν, ἵν' εἰδῆτε ὅτι μόνος τῶν λεγόντων καὶ πολιτευομένων ἐγὼ τὴν τῆς εὐνοίας τάξιν ἐν τοῖς δεινοῖς οὐκ ἔλιπον, ἀλλὰ καὶ λέγων

que. Si c'était aux plus riches, les trois cents se seraient levés. Si c'était aux citoyens riches en même temps que zélés, on aurait vu paraître ceux qui depuis ont secouru l'État de sommes d'argent considérables : ces libéralités annonçaient du zèle et des richesses. Mais, sans doute, cette conjoncture, cette journée ne demandait pas un citoyen qui fût seulement riche et zélé, mais qui eût suivi les affaires dès le principe ; qui, par de justes réflexions, eût pénétré les desseins du prince, et les motifs de sa conduite. Un citoyen qui n'eût pas connu sa politique, qui ne l'eût pas étudiée depuis longtemps, malgré son zèle et ses richesses, n'eût pas été capable de discerner le bon parti, et de vous donner le meilleur conseil. Le citoyen que demandaient les circonstances et qui parut alors, ce fut moi. Je montai la tribune, je vous tins des discours que vous devez écouter de nouveau, pour deux raisons : premièrement, afin que vous sachiez que, seul des orateurs et des ministres, je ne quittai pas, dans ces temps orageux, le poste où m'avait placé mon amour pour la patrie, mais

εἰ δὲ τοὺς πλουσιωτάτους,
οἱ τριακόσιοι[80].
εἰ δὲ τοὺς ταῦτα ἀμφότερα,
καὶ εὐνοῦς τῇ πόλει
καὶ πλουσίους,
οἱ ἐπιδόντες μετὰ ταῦτα
τὰς μεγάλας ἐπιδόσεις·
καὶ γὰρ ἐποίησαν τοῦτο
εὐνοίᾳ καὶ πλούτῳ.
Ἀλλά, ὡς ἔοικεν,
ἐκεῖνος ὁ καιρός,
καὶ ἐκείνη ἡ ἡμέρα,
ἐκάλει ἄνδρα
οὐ μόνον εὔνουν καὶ πλούσιον,
ἀλλὰ καὶ παρηκολουθηκότα
τοῖς πράγμασιν ἐξαρχῆς,
καὶ συλλελογισμένον ὀρθῶς,
ἕνεκα τίνος καὶ τί βουλόμενος
ὁ Φίλιππος ἔπραττε ταῦτα.
Ὁ γὰρ μὴ εἰδὼς ταῦτα,
μήτε ἐξηταχὼς
ἐπιμελῶς πόρρωθεν,
οὔτε εἰ ἦν εὔνους,
οὔτε εἰ πλούσιος,
ἤμελλεν οὐδὲν μᾶλλον
εἴσεσθαι ὅ τι χρὴ ποιεῖν,
οὐδὲ ἕξειν συμβουλεύειν ὑμῖν.
Ἐγὼ τοίνυν ἐφάνην οὗτος
ἐν ἐκείνῃ τῇ ἡμέρᾳ·
καὶ παρελθών,
εἶπον εἰς ὑμᾶς
ἃ ἀκούσατέ μου
ἕνεκα δυοῖν,
προσέχοντες τὸν νοῦν·
ἑνὸς μέν, ἵνα εἰδῆτε
ὅτι ἐγὼ μόνος τῶν λεγόντων
καὶ πολιτευομένων
οὐκ ἔλιπον
ἐν τοῖς δεινοῖς
τὴν τάξιν τῆς εὐνοίας,

mais s'*il fallait* les plus riches,
les trois-cents ;
mais si ceux *étant* ces deux choses,
et bienveillants *pour* la ville
et riches,
ceux ayant-donné après ces choses
les grands dons ;
et en-effet ils ont fait cela
par bienveillance et richesse.
Mais, comme il semble,
cette circonstance,
et ce jour,
appelait un homme
non seulement bienveillant et riche,
mais encore ayant-suivi
les affaires des-le-principe,
et ayant-raisonné droitement,
pour quelle chose et quoi voulant
Philippe faisait ces choses.
Car celui ne sachant pas ces *affaires*
et n'ayant pas examiné
soigneusement depuis-longtemps,
pas *même* s'il était bienveillant,
ni s'*il était* riche,
ne devait *en* rien davantage
savoir ce qu'il faut faire,
ni avoir à conseiller à vous.
Moi donc je parus celui-là
dans ce jour ;
et m'étant-avancé,
je dis à vous *des choses*
lesquelles entendiez de moi
pour deux *raisons*,
appliquant l'esprit :
l'une, afin-que vous voyiez
que moi seul de ceux parlant
et administrant
je n'ai pas laissé
dans les *moments* dangereux
le poste de la bienveillance,

καὶ γράφων ἐξηταζόμην τὰ δέονθ' ὑπὲρ ὑμῶν ἐν αὐτοῖς τοῖς φοβεροῖς· ἑτέρου δέ, ὅτι μικρὸν ἀναλώσαντες χρόνον, πολλῷ πρὸς τὰ λοιπὰ τῆς πάσης πολιτείας ἔσεσθ' ἐμπειρότεροι.

Εἶπον τοίνυν ὅτι « Τοὺς μέν, ὡς ὑπαρχόντων Θηβαίων Φιλίππῳ φίλων, λίαν θορυβουμένους, ἀγνοεῖν τὰ παρόντα πράγματα ἡγοῦμαι. Εὖ γὰρ οἶδ' ὅτι, εἰ τοῦθ' οὕτως ἐτύγχανεν ἔχον, οὐκ ἂν αὐτὸν ἠκούομεν ἐν Ἐλατείᾳ νῦν ὄντα, ἀλλ' ἐπὶ τοῖς ἡμετέροις ὁρίοις. Ὅτι μέντοι, ἵν' ἕτοιμα ποιήσηται τὰ ἐν Θήβαις, ἥκει, σαφῶς ἐπίσταμαι. Ὡς δ' ἔχει ταῦτα, ἔφην, ἀκούσατέ μου. Ἐκεῖνος, ὅσους ἢ πεῖσαι χρήμασι Θηβαίων ἢ ἐξαπατῆσαι ἐνῆν, ἅπαντας ηὐτρέπισται· τοὺς δ' ἀπ' ἀρχῆς ἀνθεστηκότας αὐτῷ, καὶ νῦν ἐναντιουμένους, οὐδαμῶς πεῖσαι δύναται. Τί οὖν βούλεται, καὶ τίνος ἕνεκα τὴν Ἐλάτειαν κατείληφε; πλησίον δύναμιν δείξας καὶ παραστήσας τὰ ὅπλα, τοὺς μὲν ἑαυτοῦ φίλους

que, dans ces conjonctures critiques, je la servis avec ardeur par mes décrets et par mes conseils. La seconde raison, c'est que le peu de temps que vous mettrez à m'entendre vous rendra beaucoup plus éclairés, par la suite, sur vos vrais intérêts.

Je dis donc : « Ceux qui s'alarment si vivement, dans l'idée que les Thébains sont dévoués à Philippe, ignorent l'état présent des affaires; moi, je ne doute pas que, s'il en était ainsi, nous n'apprissions qu'il se trouve, non dans Élatée, mais sur nos frontières; et je suis convaincu qu'il est venu aujourd'hui pour s'assurer des Thébains. Pour vous en convaincre, disais-je, écoutez-moi. Ce prince tient à ses ordres tous les citoyens de Thèbes qu'il a pu corrompre par son argent, ou séduire par son adresse; mais il lui reste à gagner ceux qui se sont toujours opposés, et qui s'opposent encore à ses entreprises. Quelles sont donc ses vues, et pour quelle raison a-t-il pris Élatée? c'est afin qu'en approchant des Thébains son armée victorieuse, en leur montrant de plus près sa force, il inspirât

ἀλλὰ καὶ λέγων καὶ γράφων
ἐξηταζόμην
ἐν τοῖς φοβεροῖς αὐτοῖς
τὰ δέοντα ὑπὲρ ὑμῶν·
ἑτέρου δέ, ὅτι,
ἀναλώσαντες χρόνον μικρόν,
ἔσεσθε πολλῷ ἐμπειρότεροι
πάσης τῆς πολιτείας
πρὸς τὰ λοιπά.
Εἶπον τοίνυν ὅτι «Ἡγοῦμαι μὲν
τοὺς θορυβουμένους λίαν,
ὡς Θηβαίων
ὑπαρχόντων φίλων Φιλίππῳ,
ἀγνοεῖν τὰ πράγματα παρόντα.
Οἶδα γὰρ εὖ ὅτι,
εἰ τοῦτο ἐτύγχανεν ἔχον οὕτως,
οὐκ ἂν ἠκούομεν αὐτὸν
ὄντα νῦν ἐν Ἐλατείᾳ,
ἀλλὰ ἐπὶ τοῖς ὁρίοις ἡμετέροις.
Ἐπίσταμαι μέντοι σαφῶς
ὅτι ἥκει,
ἵνα ποιήσηται ἕτοιμα
τὰ ἐν Θήβαις.
Ἀκούσατε δέ μου, ἔφην,
ὡς ταῦτα ἔχει.
Ἐκεῖνος ηὐτρέπισται
ἅπαντας ὅσους Θηβαίων
ἐνῆν
ἢ πεῖσαι χρήμασιν
ἢ ἐξαπατῆσαι·
δύναται δὲ οὐδαμῶς πεῖσαι
τοὺς ἀνθεστηκότας αὐτῷ
ἀπὸ ἀρχῆς,
καὶ ἐναντιουμένους νῦν.
Τί οὖν βούλεται,
καὶ ἕνεκα τίνος
κατείληφε τὴν Ἐλάτειαν;
δείξας πλησίον δύναμιν
καὶ παραστήσας τὰ ὅπλα,
ἐπᾶραι μὲν τοὺς φίλους ἑαυτοῦ

mais et disant et écrivant
je recherchais
dans les *moments* terribles mêmes
les choses nécessaires pour vous;
et l'autre, parce-que,
ayant-consumé un temps court,
vous serez de beaucoup plus-experts
en toute l'administration
pour les *affaires* restant.
Je dis donc que, « Je pense
ceux étant-troublés trop,
comme les Thébains
étant amis à Philippe,
ignorer les affaires présentes.
Car je sais bien que,
si cela se trouvait étant ainsi,
nous n'aurions pas appris lui
étant maintenant dans Élatée,
mais sur les frontières nôtres.
Je sais cependant clairement
qu'il arrive,
afin-que il fasse disposées *pour lui*
les choses dans Thèbes.
Mais entendez de moi, dis-je,
comment ces choses se trouvent.
Celui-là a-disposé-pour-lui
tous-ceux-que d'entre les Thébains
il était-possible
ou de persuader par l'argent
ou de tromper;
mais il *ne* peut nullement persuader
ceux se-tenant-contre lui
dès le principe,
et s'opposant maintenant.
Quoi donc veut-il,
et pour quelle chose
a-t-il pris Élatée?
ayant-montré de-près *sa* force
et ayant-approché les armes,
relever les amis de lui-même

ἐπᾶραι καὶ θρασεῖς ποιῆσαι, τοὺς δ' ἐναντιουμένους καταπλῆξαι, ἵν' ἢ συγχωρήσωσι φοβηθέντες ἃ νῦν οὐκ ἐθέλουσιν, ἢ βιασθῶσιν. Εἰ μὲν οὖν προαιρησόμεθα ἡμεῖς, ἔφην, ἐν τῷ παρόντι, εἴ τι δύςκολον πέπρακται Θηβαίοις πρὸς ἡμᾶς, τούτου μεμνῆσθαι, καὶ ἀπιστεῖν αὐτοῖς, ὡς ἐν τῇ τῶν ἐχθρῶν οὖσι μερίδι, πρῶτον μέν, ἃ ἂν εὔξαιτο Φίλιππος, ποιήσομεν· εἶτα φοβοῦμαι μή, προςδεξαμένων τῶν νῦν ἀνθεστηκότων αὐτῷ, καὶ μιᾷ γνώμῃ πάντων φιλιππισάντων, εἰς τὴν Ἀττικὴν ἔλθωσιν ἀμφότεροι. Ἂν μέντοι πεισθῆτ' ἐμοί, καὶ πρὸς τῷ σκοπεῖν, ἀλλὰ μὴ φιλονεικεῖν, περὶ ὧν ἂν λέγω, γένησθε, οἴομαι καὶ τὰ δέοντα λέγειν δόξειν, καὶ τὸν ἐφεστηκότα τῇ πόλει κίνδυνον διαλύσειν. Τί οὖν φημὶ δεῖν; πρῶτον μὲν τὸν παρόντα ἐπανεῖναι φόβον· εἶτα μεταθέσθαι, καὶ φοβεῖσθαι πάντας ὑπὲρ Θηβαίων· πολὺ γὰρ τῶν

à ses partisans de la confiance et de la hardiesse, en même temps qu'il frapperait ses ennemis d'épouvante, et les obligerait par crainte ou par nécessité de lui accorder ce qu'ils lui refusent maintenant. Si donc, vous disais-je, paraissant trop sensibles à ce qui aurait pu nous déplaire autrefois dans la conduite des Thébains, nous nous défions de ce peuple et le regardons comme notre ennemi, sans compter que nous agirons au gré de Philippe, je crains que ceux qui lui ont été opposés jusqu'à présent n'entrent enfin dans ses intérêts, et que par là tous les Thébains, livrés de concert à ce prince, ne viennent avec lui tomber sur l'Attique. Mais si vous déférez à mes conseils, si, renonçant à de vaines disputes, vous examinez sérieusement ce que je vais dire, il vous semblera, je pense, que je ne dis rien qui ne soit à propos, et qui ne tende à délivrer la république du danger qui la menace. Quel est donc mon avis? Il faudrait d'abord cesser de craindre pour vous, et réserver toutes vos inquiétudes pour les Thébains

καὶ ποιῆσαι θρασεῖς	et *les* faire hardis,
καταπλῆξαι δὲ	mais frapper-de-terreur
τοὺς ἐναντιουμένους,	ceux s'opposant,
ἵνα ἢ φοβηθέντες	afin-que ou ayant-été-effrayés
συγχωρήσωσιν	ils concèdent
ἃ οὐκ ἐθέλουσι	*les choses* qu'ils ne veulent pas
νῦν, ἢ βιασθῶσιν.	maintenant, ou soient-forcés.
Εἰ μὲν οὖν ἡμεῖς, ἔφην,	Si donc nous, dis-je,
προαιρησόμεθα,	nous préférerons,
ἐν τῷ παρόντι,	dans le *moment* présent,
εἴ τι δύςκολον	si quelque chose de désagréable
πέπρακται Θηβαίοις	a-été-fait *par* les Thébains
πρὸς ἡμᾶς,	contre nous,
μεμνῆσθαι τούτου,	nous souvenir de cela,
καὶ ἀπιστεῖν αὐτοῖς,	et nous défier d'eux,
ὡς οὖσιν	comme étant
ἐν τῇ μερίδι τῶν ἐχθρῶν,	dans le parti des ennemis,
πρῶτον μὲν ποιήσομεν	d'abord nous ferons
ἃ Φίλιππος ἂν εὔξαιτο·	*les choses* que Philippe désirerait;
εἶτα φοβοῦμαι μή,	ensuite je crains que,
τῶν ἀνθεστηκότων αὐτῷ νῦν	ceux se-tenant-contre lui maintenant
προςδεξαμένων,	ayant-accueilli *lui*,
καὶ φιλιππισάντων	et étant-devenus-amis-de-Philippe
πάντων μιᾷ γνώμῃ,	tous *d'*un-seul avis,
ἀμφότεροι	les-uns-et-les-autres
ἔλθωσιν εἰς τὴν Ἀττικήν.	*ne* viennent contre l'Attique.
Ἂν μέντοι πεισθῆτε ἐμοί,	Si cependant vous croyez moi,
καὶ γένησθε	et devenez *disposés*
πρὸς τῷ σκοπεῖν,	pour le examiner,
ἀλλὰ μὴ φιλονεικεῖν,	mais non disputer,
περὶ ὧν ἂν λέγω,	sur *les choses* que je puis-dire,
οἶμαι καὶ δόξειν	je pense et devoir-paraître
λέγειν τὰ δέοντα,	dire les choses nécessaires,
καὶ διαλύσειν τὸν κίνδυνον	et devoir-dissiper le danger
ἐφεστηκότα τῇ πόλει.	se-tenant-sur la ville.
Τί οὖν φημὶ δεῖν; πρῶτον μὲν	Quoi donc dis-je falloir? d'abord
ἐπανεῖναι τὸν φόβον παρόντα·	repousser la crainte présente;
εἶτα μεταθέσθαι,	ensuite changer-d'avis,
καὶ φοβεῖσθαι πάντας	et être-effrayés tous
ὑπὲρ Θηβαίων·	pour les Thébains;

δεινῶν εἰσὶν ἐγγυτέρω, καὶ προτέροις αὐτοῖς ἐστιν ὁ κίνδυνος· ἔπειτα ἐξελθόντας Ἐλευσίναδε τοὺς ἐν ἡλικίᾳ καὶ τοὺς ἱππέας, δεῖξαι πᾶσιν ὑμᾶς αὐτοὺς ἐν τοῖς ὅπλοις ὄντας, ἵνα τοῖς ἐν Θήβαις φρονοῦσι τὰ ὑμέτερα ἐξίσου γένηται τὸ παῤῥησιάζεσθαι περὶ τῶν δικαίων, εἰδόσιν ὅτι, ὥςπερ τοῖς πωλοῦσι Φιλίππῳ τὴν πατρίδα πάρεσθ' ἡ βοηθήσουσα δύναμις ἐν Ἐλατείᾳ, οὕτω τοῖς ὑπὲρ τῆς ἐλευθερίας ἀγωνίζεσθαι βουλομένοις ὑπάρχεθ' ὑμεῖς ἕτοιμοι, καὶ βοηθήσετ', ἄν τις ἐπ' αὐτοὺς ἴῃ. Μετὰ ταῦτα χειροτονῆσαι κελεύω δέκα πρέσβεις, καὶ ποιῆσαι τούτους κυρίους μετὰ τῶν στρατηγῶν, καὶ τοῦ πότε δεῖ ἐκεῖσε βαδίζειν, καὶ τῆς ἐξόδου. Ἐπειδὰν δ' ἔλθωσιν οἱ πρέσβεις εἰς Θήβας, πῶς χρήσασθαι τῷ πράγματι παραινῶ; τούτῳ πάνυ μοι προςέχετε τὸν νοῦν. Μὴ δεῖσθε Θηβαίων μηδέν (αἰσχρὸς γὰρ ὁ καιρός)· ἀλλ'

qui sont plus près que vous du moment terrible, et sur la tête desquels l'orage fondra d'abord; il faudrait ensuite faire partir pour Éleusis votre infanterie et votre cavalerie, vous montrer sous les armes à toute la Grèce, afin que vos partisans à Thèbes puissent aussi eux-mêmes parler librement pour la bonne cause, lorsqu'ils verront que, si Philippe a dans Élatée une armée prête à secourir ceux qui lui vendent leur patrie, vous aussi, Athéniens, vous êtes prêts à secourir ceux qui veulent combattre pour la liberté, et que vous les secourrez en effet, si on les attaque. Je voudrais encore qu'on nommât dix députés, et qu'on leur permît de décider avec les généraux le jour où nos troupes partiraient pour Thèbes, et le nombre des soldats qui feraient partie de l'expédition. Mais les députés une fois arrivés, que faire dans cette conjoncture délicate? Donnez-moi, je vous prie, toute votre attention. Ne demandez rien aux Thébains, cela serait peu

εἰσὶ γὰρ πολὺ ἐγγυτέρω	car ils sont beaucoup plus-près
τῶν δεινῶν,	des choses terribles,
καὶ ὁ κίνδυνος	et le danger
ἔστιν αὐτοῖς προτέροις·	est à eux les premiers;
ἔπειτα τοὺς ἐν ἡλικίᾳ	ensuite ceux dans l'âge
καὶ τοὺς ἱππέας	et les cavaliers
ἐξελθόντας Ἐλευσίναδε,	étant-sortis vers-Éleusis,
δεῖξαι πᾶσιν	montrer à tous
ὑμᾶς ὄντας ἐν τοῖς ὅπλοις,	vous étant dans les armes,
ἵνα τὸ παῤῥησιάζεσθαι	afin-que le parler-franchement
περὶ τῶν δικαίων	sur les choses justes
γένηται ἐξ ἴσου	soit également
τοῖς φρονοῦσι τὰ ὑμέτερα	à ceux pensant les *pensées* vôtres
ἐν Θήβαις,	dans Thèbes,
εἰδόσιν ὅτι,	ayant-vu que,
ὥςπερ ἡ δύναμις	comme l'armée
βοηθήσουσα τοῖς πωλοῦσι	devant-secourir ceux vendant
τὴν πατρίδα Φιλίππῳ	la patrie à Philippe
πάρεστιν ἐν Ἐλατείᾳ,	est-présente dans Élatée,
οὕτως ὑμεῖς ὑπάρχετε ἕτοιμοι	ainsi vous vous trouvez disposés
τοῖς βουλομένοις ἀγωνίζεσθαι	*pour* ceux voulant combattre
ὑπὲρ τῆς ἐλευθερίας,	pour la liberté,
καὶ βοηθήσετε,	et *leur* porterez-secours,
ἄν τις ἴῃ ἐπὶ αὐτούς.	si quelqu'un va contre eux.
Μετὰ ταῦτα κελεύω	Après ces choses j'invite
χειροτονῆσαι δέκα πρέσβεις,	à élire dix députés,
καὶ ποιῆσαι τούτους κυρίους	et à faire ceux-ci maîtres
μετὰ τῶν στρατηγῶν,	avec les généraux,
καὶ τοῦ πότε δεῖ	et du quand il faut
βαδίζειν ἐκεῖσε,	aller là,
καὶ τῆς ἐξόδου.	et de l'expédition.
Ἐπειδὰν δὲ οἱ πρέσβεις	Mais après-que les députés
ἔλθωσιν εἰς Θήβας,	seront venus à Thèbes,
πῶς παραινῶ	comment invité-je *eux*
χρήσασθαι τῷ πράγματι;	à faire-usage de l'affaire?
προςέχετέ μοι πάνυ	appliquez à moi entièrement
τὸν νοῦν τούτῳ	l'esprit *pour* cela.
Μὴ δεισθε μηδὲν	Ne demandez rien
Θηβαίων	aux Thébains
(ὁ γὰρ καιρος αἰσχρός)·	(car la circonstance *serait* honteuse)

ἐπαγγέλλεσθε βοηθήσειν, ἐὰν κελεύωσιν, ὡς ἐκείνων μὲν ὄντων ἐν τοῖς ἐσχάτοις κινδύνοις, ἡμῶν δὲ ἄμεινον, ἢ ἐκεῖνοι, τὸ μέλλον προορωμένων· ἵν', ἐὰν μὲν δέξωνται ταῦτα καὶ πεισθῶσιν ἡμῖν, καὶ ἃ βουλόμεθα ὦμεν διωκημένοι, καὶ μετὰ προσχήματος ἀξίου τῆς πόλεως ταῦτα πράξωμεν· ἐὰν δ' ἄρα μὴ συμβῇ κατατυχεῖν, ἐκεῖνοι μὲν ἑαυτοῖς ἐγκαλῶσιν, ἄν τι νῦν ἐξαμαρτάνωσιν, ἡμῖν δὲ μηδὲν αἰσχρὸν μηδὲ ταπεινὸν ᾖ πεπραγμένον. »

Ταῦτα καὶ τὰ παραπλήσια τούτοις εἰπών, κατέβην. Συνεπαινεσάντων δὲ πάντων, καὶ οὐδενὸς εἰπόντος ἐναντίον οὐδέν, οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα μέν, οὐκ ἐπρέσβευσα δε· οὐδ' ἐπρέσβευσα μέν, οὐκ ἔπεισα δὲ Θηβαίους· ἀλλ' ἀπὸ τῆς ἀρχῆς διὰ πάντων ἄχρι τῆς τελευτῆς διεξῆλθον, καὶ ἔδωκα ἐμαυτὸν

décent dans la circonstance; mais engagez-vous à leur donner du secours dès qu'ils en demanderont; faites-leur entendre qu'ils sont dans un péril extrême, et que nous sommes mieux instruits qu'eux des desseins de Philippe. S'ils acceptent nos offres, s'ils écoutent nos conseils, nous aurons obtenu ce que nous voulions, et nous l'aurons obtenu sans avoir compromis l'honneur de la république; si, au contraire, nos démarches sont inutiles, ils ne pourront s'en prendre qu'à eux des malheurs où ils seront tombés par leur faute, et nous n'aurons rien fait qui ne soit digne de nous. »

Après de tels discours et d'autres semblables, je descendis de la tribune. Mon avis fut approuvé généralement, et ne fut contredit de personne. Je ne me contentai pas de le donner de vive voix, je le proposai par écrit; je ne me bornai pas à proposer le décret, je me chargeai de l'ambassade; chargé de l'ambassade, je déterminai les Thébains: je conduisis les affaires depuis le commencement jusqu'à la

ἀλλὰ ἐπαγγέλλεσθε βοηθήσειν,	mais promettez devcir-secourir,
ἐὰν κελεύωσιν,	s'ils *vous y* invitent.
ὡς ἐκείνων μὲν ὄντων	comme ceux-là etant
ἐν τοῖς ἐσχάτοις κινδύνοις,	dans les derniers dangers,
ἡμῶν δὲ προορωμένων	et nous prévoyant
τὸ μέλλον	l'avenir
ἄμεινον ἢ ἐκεῖνοι·	mieux que ceux-là ;
ἵνα, ἐὰν μὲν δέξωνται ταῦτα	afin-que, s'ils reçoivent ces choses
καὶ πεισθῶσιν ἡμῖν,	et ajoutent-foi à nous,
καὶ ὦμεν διωκημένοι	et nous soyons ayant-arrange
ἃ βουλόμεθα,	*les choses* que nous voulons,
καὶ πράξωμεν ταῦτα	et ayons fait ces choses
μετὰ προσχήματος	avec une apparence
ἀξίου τῆς πόλεως·	digne de la ville;
ἐὰν δὲ ἄρα μὴ συμβῇ	mais si donc il n'arrive pas
κατατυχεῖν,	d'avoir-réussi,
ἐκεῖνοι μὲν ἐγκαλῶσιν ἑαυτοῖς,	*que* ceux-là accusent eux-mêmes,
ἄν νῦν	si maintenant
ἐξαμαρτάνωσί τι,	ils péchent *en* quelque chose,
μηδὲν δὲ αἰσχρὸν	mais *que* rien de honteux
μηδὲ ταπεινὸν	ni de bas
ᾖ πεπραγμένον ἡμῖν. »	*ne* soit ayant-été-fait *par* nous. »
Εἰπὼν ταῦτα	Ayant-dit ces choses
καὶ τὰ παραπλήσια τούτοις,	et les semblables à celles-ci,
κατέβην.	je descendis.
Πάντων δὲ συνεπαινεσάντων,	Mais tous ayant-loué-ensemble,
καὶ οὐδενὸς εἰπόντος	et personne *n'*ayant-dit
οὐδὲν ἐναντίον,	rien de contraire,
οὐκ εἶπον μὲν ταῦτα,	je ne dis pas *seulement* ces choses,
οὐ δὲ ἔγραψα·	mais ne *les* écrivis pas;
οὐδὲ ἔγραψα μέν,	ni je ne *les* écrivis pas *seulement*,
οὐ δὲ ἐπρέσβευσα·	mais n'allai-pas-en-ambassade; [*men*
οὐδὲ ἐπρέσβευσα μέν,	ni je-n'allai-pas-en-ambassade *seule*
οὐ δὲ ἔπεισα Θηβαίους·	mais ne persuadai pas les Thébains;
ἀλλὰ διεξῆλθον	mais je passai
διὰ πάντων,	à-travers toutes choses,
ἀπο τῆς ἀρχῆς	depuis le commencement
ἄχρι τῆς τελευτῆς,	jusqu'à la fin,
καὶ ἔδωκα ἐμαυτὸν	et donnai moi-même
ὑμῖν ἁπλῶς	à vous entièrement

ὑμῖν ἁπλῶς εἰς τοὺς περιεστηκότας τῇ πόλει κινδύνους. Καί μοι φέρε τὸ ψήφισμα τὸ τότε γενόμενον.

Καίτοι τίνα βούλει σε, Αἰσχίνη, καὶ τίνα ἐμαυτὸν ἐκείνην τὴν ἡμέραν εἶναι θῶ; βούλει ἐμαυτὸν μέν, ὃν ἂν σὺ λοιδορούμενος καὶ διασύρων καλέσαις Βάταλον, σὲ δὲ μηδ' ἥρω τὸν τυχόντα, ἀλλὰ τούτων τινὰ τῶν ἀπὸ τῆς σκηνῆς, Κρεσφόντην, ἢ Κρέοντα, ἢ ὃν ἐν Κολυττῷ ποτε Οἰνόμαον κακὸς κακῶς ὑποκρινόμενος ἐπέτριψας; Τότε τοίνυν κατ' ἐκεῖνον τὸν καιρόν, ὁ Παιανιεὺς ἐγὼ Βάταλος, Οἰνομάου τοῦ Κοθωκίδου σοῦ πλείονος ἄξιος ὢν ἐφάνην τῇ πατρίδι. Σὺ μέν γε οὐδὲν οὐδαμοῦ χρήσιμος ἦσθα· ἐγὼ δὲ πάντα, ὅσα προσῆκε τὸν ἀγαθὸν πολίτην, ἔπραττον.

Λέγε τὸ ψήφισμα.

ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.

« Ἐπὶ ἄρχοντος Ναυσικλέους, φυλῆς πρυτανευούσης Αἰαντίδος, Σκιροφοριῶνος ἕκτῃ ἐπὶ δέκα, Δημοσθένης Δημοσθένους

fin, je me dévouai tout entier à la république dans les périls où elle se trouvait. Greffier, montrez-nous le décret qui fut porté alors.

Eh bien! Eschine, quel rôle avons-nous joué, vous et moi, dans ce jour remarquable? Prétendez-vous que j'aie joué celui d'un Batalus, surnom que vous me donnez dans vos plaisanteries et dans vos sarcasmes; et vous celui d'un héros, non d'un héros obscur, mais de quelque grand personnage de théâtre, Cresphonte, Créon, ou cet OEnomaüs dont vous avez estropié le personnage dans Colytte? Moi donc alors, le Batalus de Péanée, je fus pour la république un citoyen plus utile que vous l'OEnomaüs de Cothoce. Vous, Eschine, vous n'étiez d'aucun secours et moi, Démosthène, je remplissais tous les devoirs d'un excellent patriote.

Greffier, lisez le décret.

DÉCRET DE DÉMOSTHÈNE

« Sous l'archonte Nausiclès, pendant la présidence de la tribu Æantide, le seize du mois Scirophorion, Démosthène, fils de Démos-

εἰς τοὺς κινδύνους	pour les dangers
περιεστηκότας τῇ πόλει.	se-tenant-autour de la ville.
Καὶ φέρε μοι τὸ ψήφισμα	Et apporte à moi le décret
τὸ γενόμενον τότε.	celui ayant-eu-lieu alors.
Καίτοι τίνα βούλει	Cependant quel veux-tu
θῶ σε εἶναι, Αἰσχίνη,	*que* j'établisse toi être, Eschine,
καὶ τίνα ἐμαυτόν,	et quel moi-même,
ἐκείνην τὴν ἡμέραν;	ce jour-là?
βούλει ἐμαυτὸν μὲν	veux-tu moi-même *être celui*
ὃν σὺ ἂν καλέσαις Βάταλον[81],	que tu pourrais-appeler Batalus,
λοιδορούμενος καὶ διασύρων,	invectivant et déchirant,
σὲ δὲ ἥρω,	mais toi un héros,
μηδὲ τὸν τυχόντα,	non-pas le premier-venu,
ἀλλά τινα τούτων	mais quelqu'un de ceux-là
τῶν ἀπὸ τῆς σκηνῆς,	ceux *tirés* de la scène,
Κρεσφόντην, ἢ Κρέοντα,	Cresphonte, ou Créon,
ἢ Οἰνόμαον[82],	ou OEnomaüs
ὃν ποτε ἐν Κολυττῷ,	que un-jour dans Colytte,
ὑποκρινόμενος κακὸς κακῶς,	jouant méchant méchamment,
ἐπέτριψας;	tu as estropié?
Τότε τοίνυν	Alors donc
κατὰ ἐκεῖνον τὸν καιρόν,	dans cette circonstance,
ἐγὼ ὁ Βάταλος Παιανιεὺς	moi le Batalus de-Péanée
ἐφάνην τῇ πατρίδι	je me montrai à la patrie
ὢν ἄξιος πλείονος	étant digne de plus
σοῦ Οἰνομάου τοῦ Κοθωκίδου.	*que* toi OEnomaüs celui de-Cothoce.
Σὺ μέν γε ἦσθα χρήσιμος	Toi certes tu *n'*as été utile
οὐδὲν οὐδαμοῦ·	*en* rien nulle-part;
ἐγὼ δὲ ἔπραττον πάντα,	mais moi j'ai fait toutes choses,
ὅσα προσῆκε	toutes-celles-qu'il convenait
τὸν ἀγαθὸν πολίτην.	le bon citoyen *faire*.
Λέγε τὸ ψήφισμα.	Dis le décret.
ΨΗΦΙΣΜΑ ΔΗΜΟΣΘΕΝΟΥΣ.	DÉCRET DE DÉMOSTHÈNE
« Ἐπὶ Ναυσικλέους ἄρχοντος,	« Sous Nausiclès archonte,
φυλῆς Αἰαντίδος	la tribu Æantide
πρυτανευούσης,	ayant-la-prytanie,
ἕκτῃ ἐπὶ δέκα	le sixième outre dix
Σκιροφοριῶνος,	de Scirophorion,
Δημοσθένης Δημοσθένους	Démosthène *fils* de Démosthène

Παιανιεὺς εἶπεν· Ἐπειδὴ Φίλιππος, ὁ Μακεδόνων βασιλεύς, ἔν τε τῷ παρεληλυθότι χρόνῳ παραβαίνων φαίνεται τὰς γεγενημένας αὐτῷ συνθήκας πρὸς τὸν Ἀθηναίων δῆμον περὶ τῆς εἰρήνης, ὑπεριδὼν τοὺς ὅρκους καὶ τὰ παρὰ πᾶσι τοῖς Ἕλλησι νομιζόμενα εἶναι δίκαια, καὶ πόλεις παρῄρηται οὐδὲν αὐτῷ προσηκούσας, τινὰς δὲ καὶ Ἀθηναίων οὔσας δοριαλώτους πεποίηκεν, οὐδὲν προαδικηθεὶς ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων· ἔν τε τῷ παρόντι, ἐπιπολὺ προάγει τῇ τε βίᾳ καὶ τῇ ὠμότητι· καὶ γὰρ Ἑλληνίδας πόλεις, ἃς μὲν ἐμφρούρους ποιεῖ καὶ τὰς πολιτείας καταλύει, τινὰς δὲ καὶ ἐξανδραποδιζόμενος κατασκάπτει, εἰς ἐνίας δὲ καὶ ἀντὶ Ἑλλήνων βαρβάρους κατοικίζει, ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους ἐπάγων, οὐδὲν ἀλλότριον ποιῶν οὔτε τῆς ἑαυτοῦ πατρίδος οὔτε τοῦ τρόπου, καὶ τῇ νῦν αὐτῷ παρούσῃ τύχῃ κατακόρως χρώμενος, ἐπιλελησμένος ἑαυτοῦ, ὅτι ἐκ μικροῦ

thène, de Péanée, a dit : Considérant que, par le passé, Philippe, roi de Macédoine, au mépris des serments et de tout ce qu'il y a de plus sacré parmi les Grecs, a violé les articles de la paix conclue entre lui et le peuple d'Athènes; qu'il s'est emparé des villes qui ne lui appartenaient nullement; qu'il en a même asservi plusieurs de notre dépendance, sans avoir été provoqué par le peuple d'Athènes : considérant que, dans le temps présent, il ne fait qu'accroître sa violence et sa cruauté; que, parmi les villes grecques, il a occupé les unes par des garnisons, et aboli la forme de leur gouvernement; qu'il rase les autres, et met en esclavage leurs habitants; qu'il chasse de plusieurs es Grecs pour y mettre des barbares, et qu'il leur en livre les temples et les monuments : considérant qu'il ne fait rien que de conforme aux coutumes de son pays barbare et à son caractère qu'il use immodérément de sa fortune présente, qu'il s'oublie lui-même, et ne pense pas

Παιανιεὺς εἶπεν·	de-Péanée a dit :
Ἐπειδὴ Φίλιππος,	Puisque Philippe,
ὁ βασιλεὺς Μακεδόνων,	le roi des Macédoniens,
ἔν τε τῷ χρόνῳ παρεληλυθότι	et dans le temps étant-passé
φαίνεται	se montre
παραβαίνων τὰς συνθήκας	transgressant les conventions
γεγενημένας αὐτῷ	ayant-eu-lieu à lui
πρὸς τὸν δῆμον Ἀθηναίων	envers le peuple des Athéniens
περὶ τῆς εἰρήνης,	au-sujet-de la paix,
ὑπεριδὼν τοὺς ὅρκους	ayant-méprisé les serments
καὶ τὰ νομιζόμενα	et les choses étant-crues
παρὰ πᾶσι τοῖς Ἕλλησιν	chez tous les Grecs
εἶναι δίκαια, καὶ παρῄρηται πόλεις	être justes, et a pris des villes
προσηκούσας οὐδὲν αὐτῷ,	*n'*appartenant *en* rien à lui,
πεποίηκε δὲ καὶ	et a fait aussi
δοριαλώτους	prises-par-la-lance
τινὰς οὔσας Ἀθηναίων,	quelques-unes étant des Athéniens,
προαδικηθεὶς οὐδὲν	*n'*ayant-été-lésé-d'avance *en* rien
ὑπὸ τοῦ δήμου τῶν Ἀθηναίων·	par le peuple des Athéniens;
ἔν τε τῷ παρόντι,	et dans le *temps* présent,
προάγει ἐπιπολὺ	s'avance beaucoup
τῇ τε βίᾳ	et *dans* la violence
καὶ τῇ ὠμότητι·	et *dans* la cruauté;
καὶ γὰρ ποιεῖ ἐμφρούρους	et en-effet il fait ayant-garnison
ἃς μὲν πόλεις Ἑλληνίδας	quelques villes grecques,
καὶ καταλύει τὰς πολιτείας,	et abolit les gouvernements,
κατασκάπτει δὲ καί τινας,	et rase aussi quelques-unes,
ἐξανδραποδιζόμενος,	asservissant-les-hommes,
κατοικίζει δὲ	et fait-entrer-comme-habitants
καὶ εἰς ἐνίας	aussi dans quelques-unes
βαρβάρους ἀντὶ Ἑλλήνων,	des barbares au-lieu-de Grecs,
ἐπάγων	*les* introduisant
ἐπὶ τὰ ἱερὰ καὶ τοὺς τάφους,	dans les temples et les tombeaux,
ποιῶν οὐδὲν ἀλλότριον	*ne* faisant rien d'étranger
οὔτε τῆς πατρίδος	ni à la patrie
οὔτε τοῦ τρόπου ἑαυτοῦ,	ni au caractère de lui-même,
καὶ χρώμενος κατακόρως	et usant avec-excès
τῇ τύχῃ	de la fortune
παρούσῃ αὐτῷ νῦν,	étant-présente à lui maintenant,
ἐπιλελησμένος ἑαυτοῦ,	ayant-oublié lui-même,

καὶ τοῦ τυχόντος γέγονεν ἀνελπίστως μέγας· καὶ ἕως μὲν πόλεις ἑώρα παραιρούμενον αὐτὸν βαρβάρους καὶ ἰδίας, ὑπελάμβανεν ἔλαττον εἶναι ὁ δῆμος ὁ τῶν Ἀθηναίων τὸ εἰς αὐτὸν πλημμελεῖσθαι· νῦν δὲ ὁρῶν Ἑλληνίδας πόλεις, τὰς μὲν ὑβριζομένας, τὰς δὲ ἀναστάτους γιγνομένας, δεινὸν ἡγεῖται εἶναι καὶ ἀνάξιον τῆς τῶν προγόνων δόξης τὸ περιορᾶν τοὺς Ἕλληνας καταδουλουμένους· διὸ δέδοκται τῇ βουλῇ καὶ τῷ δήμῳ τῶν Ἀθηναίων, εὐξαμένους καὶ θύσαντας τοῖς θεοῖς καὶ ἥρωσι τοῖς κατέχουσι τὴν πόλιν καὶ τὴν χώραν τῶν Ἀθηναίων, καὶ ἐνθυμηθέντας τῆς τῶν προγόνων ἀρετῆς, διότι περὶ πλείονος ἐποιοῦντο τὴν τῶν Ἑλλήνων ἐλευθερίαν διατηρεῖν ἢ τὴν ἰδίαν πατρίδα, διακοσίας ναῦς καθέλκειν εἰς τὴν θάλατταν, καὶ τὸν ναύαρχον ἀναπλεῖν ἐντὸς Πυλῶν, καὶ τὸν στρατηγὸν καὶ τὸν ἵππαρχον τὰς πεζὰς καὶ τὰς

que, contre toute espérance, il est devenu grand et puissant, de faible et d'obscur qu'il était. Tant que le peuple d'Athènes le voyait asservir les villes barbares de sa dépendance, il était moins sensible à ses invasions; mais depuis qu'il le voit attaquer des villes grecques, traiter les unes avec ignominie, bouleverser et détruire les autres, il croirait commettre un crime, et dégénérer de la gloire de ses pères, s'il voyait avec indifférence les Grecs réduits en servitude. Il a donc plu au sénat et au peuple, après avoir fait des supplications et des sacrifices aux dieux et aux héros qui protégent la ville et le territoire d'Athènes, après avoir rappelé à leur souvenir la vertu de leurs ancêtres, qui ont toujours préféré la liberté de la Grèce aux avantages de leur propre patrie; il a plu, dis-je, de mettre en mer deux cents navires, d'en donner à l'amiral d'aller croiser en deçà de Pyle, et aux généraux

ὅτι γέγονε μέγας	qu'il est devenu grand
ἀνελπίστως	d'une-façon-inespérée
ἐκ μικροῦ καὶ τοῦ τυχόντος·	de petit et vulgaire;
καὶ ἕως μὲν	et tant-que
ὁ δῆμος ὁ τῶν Ἀθηναίων	le peuple celui des Athéniens
ἑώρα αὐτὸν παραιρούμενον	voyait lui prenant
πόλεις βαρβάρους	des villes barbares
καὶ ἰδίας [83],	et particulières *à lui*,
ὑπελάμβανε	il concevait
τὸ πλημμελεῖσθαι εἰς αὐτὸν	le être-en-faute envers lui
εἶναι ἔλαττον·	être moindre;
νῦν δὲ ὁρῶν	mais maintenant voyant
πόλεις Ἑλληνίδας,	des villes grecques,
τὰς μὲν ὑβριζομένας,	les unes étant-outragées,
τὰς δὲ γιγνομένας ἀναστάτους,	les autres devenant renversées,
ἡγεῖται τὸ περιορᾶν	il pense le voir-tranquillement
τοὺς Ἕλληνας καταδουλουμένους	les Grecs étant-asservis
εἶναι δεινὸν καὶ ἀνάξιον	être affreux et indigne
τῆς δόξης τῶν προγόνων·	de la gloire des ancêtres :
διὸ δέδοκται	*c'est*-pourquoi il a-paru-bon
τῇ βουλῇ	au sénat
καὶ τῷ δήμῳ τῶν Ἀθηναίων,	et au peuple des Athéniens,
εὐξαμένους καὶ θύσαντας	ayant-prié et ayant-sacrifié
τοῖς θεοῖς καὶ ἥρωσι	aux dieux et héros
τοῖς κατέχουσι τὴν πόλιν	ceux occupant la ville
καὶ τὴν χώραν τῶν Ἀθηναίων,	et le territoire des Athéniens,
καὶ ἐνθυμηθέντας	et s'étant-mis-dans-l'esprit
τῆς ἀρετῆς τῶν προγόνων,	la vertu des ancêtres,
διότι ἐποιοῦντο	parce-qu'ils se faisaient
περὶ πλείονος	de plus-grand *prix*
διατηρεῖν	de conserver
τὴν ἐλευθερίαν τῶν Ἑλλήνων	la liberté des Grecs
ἢ, τὴν πατρίδα ἰδίαν,	que la patrie propre *d'eux*,
καθέλκειν εἰς τὴν θάλατταν	de traîner à la mer
διακοσίας ναῦς,	deux cents vaisseaux,
καὶ τὸν ναύαρχον	et le commandant-des-vaisseaux
ἀναπλεῖν	remonter-en-naviguant
ἐντὸς Πυλῶν,	en-deçà de Pyle,
καὶ τὸν στρατηγὸν	et le général
καὶ τὸν ἵππαρχον	et le commandant-de-la-cavalerie.

ἱππικὰς δυνάμεις Ἐλευσίναδε ἐξάγειν· πέμψαι δὲ καὶ πρέσβεις πρὸς τοὺς ἄλλους Ἕλληνας, πρῶτον δὲ πάντων πρὸς Θηβαίους, διὰ τὸ ἐγγυτάτω εἶναι τὸν Φίλιππον τῆς ἐκείνων χώρας· παρακαλεῖν δὲ αὐτούς, μηδὲν καταπλαγέντας τὸν Φίλιππον, ἀντέχεσθαι τῆς ἑαυτῶν καὶ τῆς τῶν ἄλλων Ἑλλήνων ἐλευθερίας· καὶ ὅτι ὁ Ἀθηναίων δῆμος, οὐδὲν μνησικακῶν, εἴ τι πρότερον γέγονεν ἀλλότριον ταῖς πόλεσι πρὸς ἀλλήλας, βοηθήσει καὶ δυνάμεσι, καὶ χρήμασι, καὶ βέλεσι, καὶ ὅπλοις, εἰδὼς αὐτοῖς μὲν πρὸς ἀλλήλους διαμφισβητεῖν περὶ τῆς ἡγεμονίας, οὖσιν Ἕλλησι, καλόν, ὑπὸ δὲ ἀλλοφύλου ἀνθρώπου ἄρχεσθαι, καὶ τῆς ἡγεμονίας ἀποστερεῖσθαι, ἀνάξιον εἶναι καὶ τῆς τῶν Ἑλλήνων δόξης, καὶ τῆς τῶν προγόνων ἀρετῆς. Ἔτι δὲ οὐδὲ ἀλλότριον ἡγεῖται εἶναι ὁ Ἀθηναίων δῆμος τὸν Θηβαίων δῆμον οὔτε τῇ

d'infanterie et de cavalerie de conduire leurs troupes à Eleusis. Il a plu en outre d'envoyer des députés chez tous les Grecs, mais surtout chez les Thébains, qui se trouvent le plus près de l'ennemi, pour les exhorter à ne pas redouter Philippe, et à défendre leur liberté et celle de tous les Grecs, et pour leur déclarer que si autrefois il y a eu quelque mésintelligence entre les diverses républiques, le peuple d'Athènes, oubliant le passé, les secourra maintenant de ses troupes, de son argent et de ses armes, convaincu qu'il est beau et honorable pour les Grecs de se disputer entre eux la prééminence, mais qu'il est indigne de leur gloire et de la vertu guerrière de leurs ancêtres de subir le joug d'une domination étrangère, et de se laisser ravir leur indépendance. Ils ajouteront que le peuple d'Athènes ne prend pas les Thébains pour des étrangers, mais qu'il les regarde comme des enfants

ἐξάγειν Ἐλευσίναδε	emmener à-Eleusis
τὰς δυνάμεις πεζὰς	les forces à-pied
καὶ τὰς ἱππικάς·	et celles à-cheval ;
πέμψαι δὲ καὶ πρέσβεις	et d'envoyer aussi des députés
πρὸς τοὺς ἄλλους Ἕλληνας,	vers les autres Grecs,
πρῶτον δὲ πάντων	et premièrement de tous
πρὸς Θηβαίους,	vers les Thébains,
διὰ τὸ τὸν Φίλιππον	à-cause du Philippe
εἶναι ἐγγυτάτω	être le-plus-près
τῆς χώρας ἐκείνων·	du territoire de ceux-là;
παρακαλεῖν δὲ αὐτούς,	et d'inviter eux,
καταπλαγέντας μηδὲν τὸν Φίλιπ-	*n'*ayant-été-effrayés *en* rien de Philip-
ἀντέχεσθαι [πον,	à revendiquer [pe,
τῆς ἐλευθερίας ἑαυτῶν	la liberté d'eux-mêmes
καὶ τῆς τῶν ἄλλων Ἑλλήνων·	et celle des autres Grecs ;
καὶ ὅτι ὁ δῆμος Ἀθηναίων,	et que le peuple des Athéniens,
μνησικακῶν οὐδέν,	*ne* se-souvenant-du-mal *en* rien,
εἴ τι ἀλλότριον	si quelque chose de malveillant
γέγονε πρότερον	a été précédemment
ταῖς πόλεσι πρὸς ἀλλήλας,	aux villes envers les-unes-les-autres,
βοηθήσει	secourra
καὶ δυνάμεσι,	et *par* des troupes,
καὶ χρήμασι,	et *par* des sommes-d'argent,
καὶ βέλεσι, καὶ ὅπλοις,	et des traits, et des armes,
εἰδὼς καλὸν μὲν αὐτοῖς,	sachant *être* beau à eux,
οὖσιν Ἕλλησι,	étant Grecs,
διαμφισβητεῖν	de contester
περὶ τῆς ἡγεμονίας	sur le commandement
πρὸς ἀλλήλους,	envers les-uns-les-autres,
εἶναι δὲ ἀνάξιον	mais être indigne
καὶ τῆς δόξης τῶν Ἑλλήνων,	et de la gloire des Grecs,
καὶ τῆς ἀρετῆς τῶν προγόνων,	et de la vertu des ancêtres,
ἄρχεσθαι	d'être commandés
ὑπὸ ἀνθρώπου ἀλλοφύλου,	par un homme d'autre-race,
καὶ ἀποστερεῖσθαι	et d'être-dépouillés
τῆς ἡγεμονίας.	du commandement.
Ἔτι δὲ	Et de-plus
ὁ δῆμος Ἀθηναίων οὐδὲ ἡγεῖται	le peuple des Athéniens ne pense pas
τὸν δῆμον Θηβαίων	le peuple des Thébains
εἶναι ἀλλότριον.	être étranger,

συγγενείᾳ, οὔτε τῷ ὁμοφύλῳ· ἀναμιμνήσκεται δὲ καὶ τὰς τῶν προγόνων τῶν ἑαυτοῦ εἰς τοὺς Θηβαίων προγόνους εὐεργεσίας· καὶ γὰρ τοὺς Ἡρακλέους παῖδας, ἀποστερουμένους ὑπὸ Πελοποννησίων τῆς πατρῴας ἀρχῆς, κατήγαγον, τοῖς ὅπλοις κρατήσαντες τοὺς ἀντιβαίνειν πειρωμένους τοῖς Ἡρακλέους ἐγγόνοις καὶ τὸν Οἰδίπουν, καὶ τοὺς μετ' ἐκείνου ἐκπεσόντας ὑπεδεξάμεθα· καὶ ἕτερα πολλὰ ἡμῖν ὑπάρχει φιλάνθρωπα καὶ ἔνδοξα πρὸς Θηβαίους. Διόπερ οὐδὲ νῦν ἀποστήσεται ὁ Ἀθηναίων δῆμος τῶν Θηβαίοις τε καὶ ἄλλοις Ἕλλησι συμφερόντων· συνθέσθαι δὲ πρὸς αὐτοὺς καὶ συμμαχίαν, καὶ ἐπιγαμίαν ποιήσασθαι, καὶ ὅρκους δοῦναι καὶ λαβεῖν.

« Πρέσβεις, Δημοσθένης Δημοσθένους Παιανιεύς, Ὑπερίδης Κλεάνδρου Σφήττιος, Μνησιθείδης Ἀντιφάνους Φρεάρριος, Δημοκράτης Σωφίλου Φλυεύς, Κάλλαισχρος Διοτίμου Κοθωκίδης. »

d'une même famille et d'un même sang, qu'il a présents à sa mémoire les bienfaits de ses ancêtres envers les leurs; car ils ont rétabli dans leurs droits les descendants d'Hercule, chassés de leur royaume paternel par les habitants du Péloponèse, en réduisant par la force des armes ceux qui voulaient marcher contre les Héraclides; ils ont accueilli OEdipe et ses compagnons d'infortune : enfin, il leur reste divers autres monuments de leur bienveillance et de leur générosité envers les Thébains. C'est pourquoi le peuple d'Athènes ne trahira pas non plus aujourd'hui les intérêts de Thèbes ni ceux des autres Grecs. Les députés auront le pouvoir de former des alliances publiques et particulières, de prêter des serments et d'en recevoir.

« Ont été choisis pour députés, Démosthène, fils de Démosthène, de Péanée; Hypéride, fils de Cléandre, de Sphette; Mnésithide, fils d'Antiphane, de Phréare; Démocrate, fils de Sophile, de Phlyes; Calleschre, fils de Diotime, de Cothoce. »

οὔτε τῇ συγγενείᾳ,	ni *par* la parenté,
οὔτε τῷ ὁμοφύλῳ·	ni *par* la communauté-de-race;
ἀναμιμνήσκεται δὲ καὶ	mais il se rappelle aussi
τὰς εὐεργεσίας	les bienfaits
τῶν προγόνων ἑαυτοῦ	des ancêtres de lui-même
εἰς τοὺς προγόνους Θηβαίων·	envers les ancêtres des Thébains;
καὶ γὰρ κατήγαγον	et en-effet ils ont ramené
τοὺς παῖδας Ἡρακλέους,	les enfants d'Hercule,
ἀποστερουμένους	étant-dépouillés
ὑπὸ Πελοποννησίων	par les Péloponésiens
τῆς ἀρχῆς πατρῴας,	du commandement paternel,
κρατήσαντες τοῖς ὅπλοις	ayant-vaincu *par* les armes
τοὺς πειρωμένους ἀντιβαίνειν	ceux tentant de marcher-contre
τοῖς ἐγγόνοις Ἡρακλέους·	les descendants d'Hercule;
καὶ ὑπεδεξάμεθα τὸν Οἰδίπουν,	et nous avons recueilli OEdipe,
καὶ τοὺς ἐκπεσόντας	et ceux étant-déchus
μετὰ ἐκείνου·	avec celui-là;
καὶ πολλὰ ἕτερα [84]	et de nombreuses autres choses
φιλάνθρωπα καὶ ἔνδοξα	bienfaisantes et glorieuses
ὑπάρχει ἡμῖν πρὸς Θηβαίους.	sont à nous envers les Thébains.
Διόπερ οὐδὲ νῦν	*C'est* pourquoi non-plus maintenant
ὁ δῆμος Ἀθηναίων	le peuple des Athéniens
ἀποστήσεται	*ne* se-tiendra-éloigné
τῶν συμφερόντων	des choses important
Θηβαίοις τε	et aux Thébains
καὶ ἄλλοις Ἕλλησι·	et aux autres Grecs;
συνθέσθαι δὲ καὶ	et établir aussi
συμμαχίαν πρὸς αὐτούς,	alliance envers eux,
καὶ ποιήσασθαι ἐπιγαμίαν,	et faire droit-de-mariage,
καὶ δοῦναι καὶ λαβεῖν ὅρκους.	et donner et recevoir les serments.
« Πρέσβεις,	« Députés,
Δημοσθένης Δημοσθένους	Démosthène *fils* de Démosthène
Παιανιεύς,	de-Péanée,
Ὑπερίδης Κλεάνδρου	Hypéride *fils* de Cléandre
Σφήττιος,	de-Sphette,
Μνησιθείδης Ἀντιφάνους	Mnésithide *fils* d'Antiphane
Φρεάρριος,	de-Phréare,
Δημοκράτης Σωφίλου Φλυεύς,	Démocrate *fils* de Sophile de-Phlyes,
Κάλλαισχρος Διοτίμου	Calleschre *fils* de Diotime
Κοθωκίδης. »	de-Cothoce. »

Αὕτη τῶν περὶ Θήβας ἐγένετο πραγμάτων ἀρχὴ καὶ κατάστασις πρώτη, τὰ πρὸ τούτων, εἰς ἔχθραν καὶ μῖσος καὶ ἀπιστίαν τῶν πόλεων ὑπηγμένων ὑπὸ τούτων. Τοῦτο τὸ ψήφισμα τὸν τότε τῇ πόλει περιστάντα κίνδυνον παρελθεῖν ἐποίησεν, ὥςπερ νέφος. Ἦν μὲν τοίνυν τοῦ δικαίου πολίτου τότε δεῖξαι πᾶσιν, εἴ τι τούτων εἶχεν ἄμεινον, μὴ νῦν ἐπιτιμᾷν. Ὁ γὰρ σύμβουλος καὶ ὁ συκοφάντης, οὐδὲ τῶν ἄλλων οὐδὲν ἐοικότες, ἐν τούτῳ πλεῖστον ἀλλήλων διαφέρουσιν· ὁ μέν γε, πρὸ τῶν πραγμάτων γνώμην ἀποφαίνεται, καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον τοῖς πεισθεῖσι, τῇ τύχῃ, τοῖς καιροῖς, τῷ βουλομένῳ· ὁ δέ, σιγήσας ἡνίκ' ἔδει λέγειν, ἄν τι δύςκολον συμβῇ, τοῦτο βασκαίνει.

Ἦν μὲν οὖν, ὅπερ εἶπον, ἐκεῖνος ὁ καιρὸς τοῦ γε φροντίζοντος ἀνδρὸς τῆς πόλεως, καὶ τῶν δικαίων λόγων· ἐγὼ δὲ τοσαύ-

Voilà quels furent le principe et le fondement de la réconciliation d'Athènes et de Thèbes, ces deux villes que nos traîtres avaient portées d'abord à la haine, aux inimitiés et à la défiance. Ce décret éloigna le péril qui enveloppait la république, comme le vent dissipe un nuage. Un bon patriote devait donc, s'il trouvait un parti meilleur, en faire part alors à ses concitoyens, et non pas blâmer à présent celui qu'on a pris. Le conseiller et le calomniateur, différents en tout le reste, diffèrent surtout en ce que l'un donne son avis avant les événements, qu'il se livre à la discrétion de la fortune, des conjonctures, de ceux même qu'il persuade, de quiconque veut le juger; tandis que l'autre, qui a gardé le silence quand il fallait prendre la parole, se déchaîne après coup contre les événements fâcheux.

C'était donc alors, je le répète, pour un bon patriote et pour un homme équitable, l'unique temps de parler. Pour moi, je porte

Ἀρχὴ	Le principe
καὶ πρώτη κατάστασις	et premier fondement
τῶν πραγμάτων περὶ Θήβας	des affaires envers Thèbes
ἐγένετο αὕτη,	fut celui-ci,
τῶν πόλεων ὑπηγμένων	les villes ayant-été-poussées
ὑπὸ τούτων,	par ceux-ci,
τὰ πρὸ τούτων,	*quant* aux choses avant celles-là,
εἰς ἔχθραν	à l'inimitié
καὶ μῖσος καὶ ἀπιστίαν.	et la haine et la défiance.
Τοῦτο τὸ ψήφισμα	Ce décret
ἐποίησε τὸν κίνδυνον	fit le danger
περιστάντα τότε τῇ πόλει	environnant alors la ville
παρελθεῖν, ὥςπερ νέφος.	avoir-passé, comme un nuage.
Ἦν μὲν τοίνυν τοῦ πολίτου δικαίου	Il était donc du citoyen juste
δεῖξαι τότε πᾶσιν,	de montrer alors à tous,
εἰ εἶχέ τι	s'il avait quelque chose
ἄμεινον τούτων,	meilleure *que* celles-ci,
μὴ ἐπιτιμᾷν νῦν.	non de blâmer maintenant.
Ὁ γὰρ σύμβουλος	Car le conseiller
καὶ ὁ συκοφάντης,	et le calomniateur,
οὐδὲ ἐοικότες	ne *se* ressemblant
οὐδὲν τῶν ἄλλων,	*en* aucune des autres choses,
διαφέρουσιν ἀλλήλων	diffèrent l'un-de-l'autre
ἐν τούτῳ πλεῖστον·	dans celle-ci le-plus :
ὁ μέν γε ἀποφαίνεται γνώμην	l'un certes découvre *son* avis
πρὸ τῶν πραγμάτων,	avant les choses,
καὶ δίδωσιν αὑτὸν ὑπεύθυνον	et donne lui-même comptable
τοῖς πεισθεῖσι,	à ceux ayant-été-persuadés,
τῇ τύχῃ, τοῖς καιροῖς,	à la fortune, aux circonstances,
τῷ βουλομένῳ·	à celui voulant;
ὁ δέ, σιγήσας	l'autre, s'étant-tu
ἡνίκα ἔδει λέγειν,	quand il fallait parler,
ἄν τι δύςκολον συμβῇ,	si quelque chose fâcheuse est-arrivé
βασκαίνει τοῦτο.	dénigre cela.
Ἐκεῖνος μὲν ὁ καιρὸς	Cette circonstance
ἦν οὖν, ὅπερ εἶπον,	était donc, *ce* que j'ai dit,
τοῦ γε ἀνδρὸς	de l'homme du-moins
φροντίζοντος τῆς πόλεως,	prenant-souci de la ville,
καὶ τῶν λόγων δικαίων·	et des discours justes;
ἐγὼ δὲ ποιοῦμαι	mais moi je fais

την ὑπερβολὴν ποιοῦμαι ὥςτε, ἂν νῦν ἔχῃ τις δεῖξαί τι βέλτιον, ἢ ὅλως εἴ τι ἄλλο ἐνῆν, πλὴν ὧν ἐγὼ προειλόμην, ἀδικεῖν ὁμολογῶ. Εἰ γὰρ ἔσθ' ὅ τι τις νῦν ἑώρακεν, ὃ συνήνεγκεν ἂν τότε πραχθέν, τοῦτ' ἐγώ φημι δεῖν ἐμὲ μὴ λαθεῖν. Εἰ δὲ μήτ' ἐστί, μήτε ἦν, μήτε ἂν εἰπεῖν ἔχοι μηδεὶς μηδέπω καὶ τήμερον, τί τὸν σύμβουλον ἐχρῆν ποιεῖν; οὐ τῶν φαινομένων καὶ ἐνόντων τὰ κράτιστα ἑλέσθαι; Τοῦτο τοίνυν ἐποίησα ἐγώ, τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη· « Τίς ἀγορεύειν βούλεται; » οὐ, « Τίς αἰτιᾶσθαι περὶ τῶν παρεληλυθότων; » οὐδέ, « Τίς ἐγγυᾶσθαι τὰ μέλλοντ' ἔσεσθαι; » Σοῦ δ' ἀφώνου κατ' ἐκείνους τοὺς χρόνους ἐν ταῖς ἐκκλησίαις καθημένου, ἐγὼ παριὼν ἔλεγον. Ἐπειδὴ δ' οὐ τότε, ἀλλὰ νῦν δεῖξον, εἰπὲ τίς ἡ λόγος, ὅντινα ἐχρῆν εὑρεῖν, ἢ καιρὸς συμφέρων ὑπ' ἐμοῦ παρελείφθη τῇ πόλει· τίς δὲ συμμαχία, τίς πρᾶξις, ἐφ' ἣν μᾶλλον ἔδει με ἀγαγεῖν τουτουσί.

la confiance jusqu'à dire que, si l'on peut montrer aujourd'hui qu'il y avait un parti meilleur, ou même un autre parti à prendre que celui que j'embrassai, je m'avoue coupable. Oui, si l'on découvre à présent quelque projet dont l'exécution alors eût été plus avantageuse, j'ai dû le connaître, j'en conviens; mais s'il n'y en a pas à présent, s'il n'y en avait pas alors, si on ne peut en indiquer un seul, même à l'instant où je parle, que devait faire le conseiller? Ne devait-il point parmi tous les projets réels et possibles, choisir le plus utile? Et c'est ce que j'ai fait, Eschine, quand le héraut criait : « Qui veut conseiller le peuple? » non « Qui veut censurer le passé? » ou « Qui veut garantir l'avenir? » Pendant que vous restiez assis et muet dans nos assemblées, moi, je montais à la tribune, et j'y parlais. Mais puisque vous ne l'avez point fait alors, dites-nous du moins à présent quel avis convenable j'ai manqué d'ouvrir, quelle occasion favorable j'ai manqué de saisir, à quelle alliance, à quelle démarche j'aurais dû plutôt déterminer les

τοσαύτην ὑπερβολὴν ὥςτε,	une si-grande exagération que,
ἂν νῦν τις ἔχῃ	si maintenant quelqu'un a
δεῖξαί τι βέλτιον,	à montrer quelque chose meilleure,
ἢ ὅλως	ou absolument
εἴ τι ἄλλο ἐνῆν,	si quelque autre était-possible,
πλὴν ὧν ἐγὼ	hormis *celles* que moi
προειλόμην,	j'ai préférées,
ὁμολογῶ ἀδικεῖν.	j'avoue avoir-tort.
Εἰ γὰρ ἔστιν ὅ τι	Car s'il est quelque chose que
τὶς ἑώρακε νῦν	quelqu'un a vue maintenant,
ὃ πραχθὲν τότε,	qui ayant-été-faite alors
συνήνεγκεν ἄν, ἐγώ φημι δεῖν	aurait-été-utile, moi je dis falloir
τοῦτο μὴ λαθεῖν ἐμέ.	elle ne pas avoir-été-cachée à moi.
Εἰ δὲ μήτε ἐστί, μήτε ἦν,	Mais si ni elle *n'*est, ni elle *n'*était,
μήτε μηδεὶς ἂν ἔχοι εἰπεῖν	ni personne *n'*aurait à *la* dire
μηδέπω καὶ τήμερον,	jamais-encore même aujourd'hui,
τί ἐχρῆν τὸν σύμβουλον ποιεῖν;	quoi fallait-il le conseiller faire?
οὐχ ἑλέσθαι τὰ κράτιστα	ne *fallait-il* pas avoir-choisi les meil-
τῶν φαινομένων	des choses se montrant [leures
καὶ ἐνόντων;	et étant-possibles?
Ἐγὼ τοίνυν ἐποίησα τοῦτο,	Moi donc j'ai-fait cela,
τοῦ κήρυκος ἐρωτῶντος, Αἰσχίνη·	le héraut interrogeant, Eschine :
« Τίς βούλεται ἀγορεύειν; »	« Qui veut haranguer?
οὐ, « Τίς αἰτιᾶσθαι	non : « Qui accuser
περὶ τῶν παρεληλυθότων; »	au-sujet des choses étant-passées? »
οὐδέ, « Τίς ἐγγυᾶσθαι	ni : « Qui garantir
τὰ μέλλοντα ἔσεσθαι; »	les choses devant être? »
Σοῦ δὲ καθημένου ἀφώνου	Mais toi étant-assis sans-voix
ἐν ταῖς ἐκκλησίαις	dans les assemblées
κατὰ ἐκείνους τοὺς χρόνους,	pendant ces temps,
ἐγὼ παριὼν ἔλεγον.	moi m'étant-avancé je parlais.
Ἐπειδὴ δὲ οὐ τότε,	Mais puisque non alors,
ἀλλὰ νῦν δεῖξον,	eh-bien maintenant montre,
εἰπὲ τίς ἡ λόγος,	dis quel ou discours,
ὅντινα ἐχρῆν εὑρεῖν,	lequel il fallait avoir-trouvé,
ἢ καιρὸς συμφέρων τῇ πόλει	ou occasion important à la ville
παρελείφθη ὑπὸ ἐμοῦ·	a-été-omise par moi;
τίς δὲ συμμαχία, τίς πρᾶξις,	et quelle alliance, quelle affaire,
ἐπὶ ἣν ἔδει μᾶλλόν με	vers laquelle il fallait plutôt moi
ἀγαγεῖν τουτουσί.	avoir-conduit ceux-ci.

Ἀλλὰ μὴν τὸ μὲν παρεληλυθὸς ἀεὶ παρὰ πᾶσιν ἀφεῖται, καὶ οὐδεὶς περὶ τούτου προτίθησιν οὐδαμοῦ βουλήν· τὸ δὲ μέλλον ἢ τὸ παρὸν τὴν τοῦ συμβούλου τάξιν ἀπαιτεῖ. Τότε τοίνυν τὰ μὲν ἔμελλεν, ὡς ἐδόκει, τῶν δεινῶν, τὰ δ' ἤδη παρῆν· ἐν οἷς τὴν προαίρεσίν μου σκόπει τῆς πολιτείας, μὴ τὰ συμβάντα συκοφάντει. Τὸ μὲν γὰρ πέρας, ὡς ἂν ὁ δαίμων βουληθῇ, πάντων γίγνεται· ἡ δὲ προαίρεσις αὐτὴ τὴν τοῦ συμβούλου διάνοιαν δηλοῖ. Μὴ δὴ τοῦτο ὡς ἀδίκημα ἐμὸν θῇς, εἰ κρατῆσαι συνέβη Φιλίππῳ τῇ μάχῃ· ἐν γὰρ τῷ θεῷ τὸ τούτου τέλος ἦν, οὐκ ἐν ἐμοί· ἀλλ' ὡς οὐχ ἅπαντα, ὅσα ἐνῆν κατ' ἀνθρώπινον λογισμόν, εἱλόμην, καὶ δικαίως ταῦτα καὶ ἐπιμελῶς ἔπραξα καὶ φιλοπόνως ὑπὲρ δύναμιν, ἢ ὡς οὐ καλὰ καὶ τῆς πόλεως ἄξια πράγματα ἐνεστησάμην, καὶ ἀναγκαῖα ταῦτά μοι δεῖξον, καὶ τότ'

On abandonne le passé, on n'en fait point un sujet de délibération; l'avenir seul ou le présent réclame les conseils d'un ministre. Alors donc il y avait des périls qui menaçaient la patrie, d'autres qui la pressaient déjà; examinez ma conduite au milieu de ces périls, sans accuser l'événement. La divinité décide du succès des entreprises, la conduite du ministre annonce son habileté. Ne me faites donc pas un crime de ce que Philippe a eu l'avantage de la victoire, cela dépendait des dieux, et non de ma volonté. Mais que je n'aie pas pris toutes les mesures que pouvait suggérer la prudence humaine; que je ne me vois pas conduit avec toute la droiture et la vigilance possibles, avec une activité même qui fût au-dessus de mes forces; que toutes mes entreprises n'aient pas été honorables, dignes de la république, et nécessaires; montrez-le moi, et ensuite venez m'accuser. Mais si la

Ἀλλὰ μὴν	Mais certes
τὸ μὲν παρεληλυθὸς	la chose étant-passée
ἀφεῖται ἀεὶ παρὰ πᾶσι,	est-omise toujours chez tous,
καὶ οὐδεὶς οὐδαμοῦ	et personne nulle-part
προτίθησι βουλὴν περὶ τούτου·	*ne* propose une délibération sur elle;
τὸ δὲ μέλλον ἢ τὸ παρὸν	mais celle devant-être ou celle présente
ἀπαιτεῖ τὴν τάξιν τοῦ συμβούλου.	réclame l'office du conseiller.
Τότε τοίνυν τὰ μὲν τῶν δεινῶν	Alors donc ceux-ci des dangers
ἤμελλεν, ὡς ἐδόκει,	devaient-être, comme il paraissait,
τὰ δὲ παρῆν ἤδη·	ceux-là étaient-présents déjà;
ἐν οἷς σκόπει	dans lesquels examine
τὴν προαίρεσίν μου	le système de moi
τῆς πολιτείας,	*dans* l'administration,
μὴ συκοφάντει	ne calomnie pas
τὰ συμβάντα.	les choses étant-arrivées.
Τὸ μὲν γὰρ πέρας πάντων	Car le terme de toutes choses
γίγνεται,	arrive,
ὡς ὁ δαίμων ἂν βουληθῇ·	comme la divinité aura voulu;
ἡ δὲ προαίρεσις αὐτὴ	mais le système seul
δηλοῖ τὴν διάνοιαν	montre le discernement
τοῦ συμβούλου.	du conseiller.
Μὴ δὴ θῇς τοῦτο	Donc ne pose pas cela
ὡς ἀδίκημα ἐμόν,	comme délit mien,
εἰ συνέβη Φιλίππῳ	s'il est arrivé à Philippe
κρατῆσαι τῇ μάχῃ·	d'avoir vaincu *dans* le combat;
τὸ γὰρ τέλος τούτου	car la fin de cela
ἦν ἐν τῷ θεῷ,	était dans le dieu,
οὐκ ἐν ἐμοί·	non dans moi;
ἀλλὰ δεῖξόν μοι ταῦτα.	mais montre à moi ces choses,
ὡς οὐχ εἱλόμην ἅπαντα,	que je n'ai pas pris toutes *mesures*,
ὅσα ἐνῆν	toutes-celles-qu'il était-possible
κατὰ λογισμὸν ἀνθρώπινον,	selon le raisonnement humain,
καὶ ἔπραξα ταῦτα	et *n'*ai *pas* fait ces choses
δικαίως καὶ ἐπιμελῶς	justement et soigneusement
καὶ φιλοπόνως	et laborieusement
ὑπὲρ δύναμιν,	au-dessus-de *ma* force,
ἢ ὡς οὐκ ἐνεστησάμην	ou que je n'ai pas entrepris
πράγματα καλὰ	des choses belles
καὶ ἄξια τῆς πόλεως	et dignes de la ville
καὶ ἀναγκαῖα,	et nécessaire

ἤδη κατηγόρει μου. Εἰ δ' ὁ συμβὰς σκηπτὸς μὴ μόνον ἡμῶν, ἀλλὰ καὶ πάντων τῶν ἄλλων Ἑλλήνων μείζων γέγονε, τί χρὴ ποιεῖν; Ὥςπερ ἂν εἴ τις ναύκληρον πάντ' ἐπὶ σωτηρίᾳ πράξαντα, ταῖ πᾶσι κατασκευάσαντα τὸ πλοῖον, ἀφ' ὧν ὑπελάμβανε σωθήσεσθαι, εἶτα χειμῶνι χρησάμενον, καὶ πονησάντων αὐτῷ τῶν σκευῶν, ἢ καὶ συντριβέντων ὅλως, τῆς ναυαγίας αἰτιῷτο. Ἀλλ' οὔτ' ἐκυβέρνων τὴν ναῦν, φήσειεν ἄν· ὥςπερ οὐδ' ἐστρατήγουν ἐγώ, οὔτε τῆς τύχης κύριος ἦν, ἀλλ' ἐκείνη τῶν πάντων.

Ἀλλ' ἐκεῖνο λογίζου καὶ ὅρα· εἰ μετὰ Θηβαίων ἡμῖν ἀγωνιζομένοις οὕτως εἵμαρτο πρᾶξαι, τί χρῆν προςδοκᾶν, εἰ μηδὲ τούτους ἔσχομεν συμμάχους, ἀλλὰ Φιλίππῳ προςέθεντο; ὑπὲρ οὗ τότ' ἐκεῖνος πάσας ἀφῆκε φωνάς. Καὶ εἰ νῦν τριῶν ἡμερῶν ἀπὸ τῆς Ἀττικῆς ὁδὸν τῆς μάχης γενομένης, τοσοῦτος κίνδυνος

foudre a brisé non-seulement la puissance d'Athènes, mais encore celle de tous les Grecs, que restait-il à faire? Faudrait-il imputer le naufrage à un armateur, qui, n'ayant rien négligé pour la sûreté de son vaisseau, ayant eu soin de le munir de toutes les choses nécessaires, le verrait assailli, fatigué, et même brisé par la tempête? Je ne gouvernais pas le vaisseau, dirait-il; et moi, je ne commandais pas l'armée, je n'étais pas le maître du sort, le sort est le maître de tout.

Raisonnez donc, Eschine, et ouvrez les yeux. Si le succès nous a été si contraire, quoique nous fussions unis aux Thébains, à quoi fallait-il nous attendre, s'ils n'eussent pas été nos amis, s'ils eussent combattu avec Philippe, comme celui-ci les y avait si fortement engagés? Si la défaite nous a jetés dans un tel péril et dans une telle consternation, quoique le combat eût été donné à trois journées de l'Attique,

καὶ τότε ἤδη κατηγόρει μου
Εἰ δὲ ὁ σκηπτὸς συμβὰς
γέγονε μείζων,
μὴ μόνον ἡμῶν,
ἀλλὰ καὶ
πάντων τῶν ἄλλων Ἑλλήνων,
τί χρὴ ποιεῖν;
Ὥςπερ εἴ τις
ἂν αἰτιῷτο τῆς ναυαγίας
ναύκληρον
πράξαντα πάντα ἐπὶ σωτηρίᾳ,
καὶ κατασκευάσαντα
τὸ πλοῖον πᾶσιν,
ἀπὸ ὧν ὑπελάμβανε
σωθήσεσθαι,
εἶτα χρησάμενον χειμῶνι,
καὶ τῶν σκευῶν
πονησάντων αὐτῷ, ἢ καὶ
συντριβέντων ὅλως.
Ἀλλά, φήσειεν ἄν,
οὔτε ἐκυβέρνων τὴν ναῦν·
ὥςπερ ἐγὼ
οὐδὲ ἐστρατήγουν,
οὔτε ἦν κύριος τῆς τύχης,
ἀλλὰ ἐκείνη τῶν πάντων.
Ἀλλὰ λογίζου ἐκεῖνο καὶ ὅρα·
εἰ εἵμαρτο
ἡμῖν ἀγωνιζομένοις
μετὰ Θηβαίων
πρᾶξαι οὕτω,
τί χρῆν προςδοκᾶν,
εἰ μηδὲ ἔσχομεν
τούτους συμμάχους,
ἀλλὰ προςέθεντο Φιλίππῳ;
ὑπὲρ οὗ ἐκεῖνος τότε
ἀφῆκε πάσας φωνάς.
Καὶ εἰ νῦν
τῆς μάχης γενομένης
ὁδὸν τριῶν ἡμερῶν
ἀπὸ τῆς Ἀττικῆς,

et alors aussitôt accuse moi.
Mais si la foudre étant-arrivée
a été plus grande,
non seulement *que* nous,
mais encore
que tous les autres Grecs,
quoi faut-il faire?
Comme si quelqu'un
accusait du naufrage
un armateur-de-vaisseau
ayant-fait toutes choses pour le salut,
et ayant-équipé
le navire de toutes les choses,
par lesquelles il présumait
devoir-être-sauvé,
ensuite ayant-éprouvé une tempête,
et les agrès
ayant-souffert à lui, ou même
ayant-été-brisés entièrement.
Mais, dirait-il,
je ne gouvernais pas le vaisseau;
comme moi
ni je *ne* conduisais-l'armée,
ni je *n'*étais maître de la fortune,
mais celle-là de toutes les choses.
Mais raisonne cela et vois:
s'il avait-été-réglé-par-le-destin
à nous combattant
avec les Thébains
d'avoir-fait ainsi,
quoi fallait-il attendre,
si nous n'avions eu
ceux-ci alliés,
mais s'ils s'étaient-ajoutés à Philippe
pour laquelle chose celui-là alors
lâcha toutes *ses* paroles.
Et si maintenant
le combat ayant-eu-lieu
à une route de trois jours
loin de l'Attique,

καὶ φόβος περιέστη τὴν πόλιν, τί ἄν, εἴ που τῆς χώρας τοῦτο πάθος συνέβη, προςδοκῆσαι χρῆν; ἆρ' οἴεσθε ἔτι νῦν ἂν στῆναι, συνελθεῖν, ἀναπνεῦσαι; πολλὰ μία ἡμέρα καὶ δύο καὶ τρεῖς ἔδοσαν τῶν εἰς σωτηρίαν τῇ πόλει. Τότε δέ... Ἀλλ' οὐκ ἄξιον εἰπεῖν ἅ γε μηδὲ πεῖραν ἔδωκε θεῶν τινος εὐνοίᾳ, καὶ τῷ προβαλέσθαι τὴν πόλιν ταύτην τὴν συμμαχίαν, ἧς σὺ κατηγορεῖς.

Ἔστι δὲ ταυτὶ πάντα μοι τὰ πολλὰ πρὸς ὑμᾶς, ἄνδρες δικασταί, καὶ τοὺς περιεστηκότας ἔξωθεν καὶ ἀκροωμένους· ἐπεὶ πρός γε τοῦτον αὐτὸν τὸν κατάπτυστον βραχὺς καὶ σαφὴς ἐξήρκει μοι λόγος. Εἰ μὲν γὰρ ἦν σοι πρόδηλα τὰ μέλλοντα, Αἰσχίνη, μόνῳ τῶν ἄλλων, ὅτ' ἐβουλεύεθ' ἡ πόλις περὶ τούτων, τότ' ἔδει προλέγειν· εἰ δὲ μὴ προῄδεις, τῆς αὐτῆς ἀγνοίας ὑπεύ-

que ne devions-nous pas craindre, si ce malheur fût arrivé sur notre territoire? Pourrions-nous encore subsister, conférer, respirer? Deux ou trois jours ont fourni à la ville bien des ressources. Sans ce délai.... Mais, Athéniens, est-il besoin de vous dire les malheurs dont vous fûtes préservés par la protection des dieux, et par cette même alliance qu'on me reproche, et qui fut cependant le rempart d'Athènes?

C'est pour vous qui devez nous juger, c'est pour ceux qui sont hors de cette enceinte, et qui m'écoutent, que je suis entré dans ces détails; car, pour confondre ce vil personnage, il suffirait de ce raisonnement clair et précis. Si, lorsque nous délibérions sur les intérêts de la république, l'avenir, Eschine, caché pour tous les autres, se dévoilait à vous seul, vous deviez alors en révéler les secrets; s'il se

τοσοῦτος κίνδυνος καὶ φόβος	un si-grand danger et peur
περιέστη τὴν πόλιν,	environna la ville,
τί ἂν χρῆν προςδοκῆσαι,	quoi aurait-il fallu attendre,
εἰ τοῦτο αὐτὸ τὸ πάθος	si ce même accident
συνέβη	était-arrivé
του τῆς χώρας;	quelque-part du territoire?
ἆρα οἴεσθε	est-ce que vous pensez
ἔτι νῦν ἂν στῆναι,	encore maintenant avoir-pu-subsister
συνελθεῖν, ἀναπνεῦσαι;	vous-réunir, respirer?
μία ἡμέρα καὶ δύο καὶ τρεῖς	un jour et deux et trois
ἔδοσαν τῇ πόλει	ont donné à la ville
πολλὰ τῶν	de nombreuses des choses
εἰς σωτηρίαν.	pour le salut.
Τότε δέ...	Mais alors...
Ἀλλὰ οὐκ ἄξιον εἰπεῖν	Mais *il n'est* pas digne de dire
ἅ γε	*les choses* qui du-moins
μηδὲ ἔδωκε πεῖραν	n'ont pas donné épreuve
εὐνοίᾳ	par la bienveillance
τινὸς θεῶν,	de quelqu'un des dieux,
καὶ τῷ τὴν πόλιν	et par le la ville
προβαλέσθαι	avoir-placé-devant-elle
ταύτην τὴν συμμαχίαν,	cette alliance,
ἧς σὺ κατηγορεῖς.	que toi tu accuses.
Πάντα δὲ ταυτὶ	Mais toutes ces choses
ἔστι μοι τὰ πολλὰ	sont à moi la plupart
πρὸς ὑμᾶς, ἄνδρες δικασταί,	envers vous, hommes juges,
καὶ τοὺς περιεστηκότας ἔξωθεν	et ceux environnant au-dehors
καὶ ἀκροωμένους	et écoutant;
ἐπεί γε λόγος	puisque certes un raisonnement
βραχὺς καὶ σαφὴς	court et clair
ἐξήρκει μοι	suffisait à moi
πρὸς τοῦτον αὐτὸν	envers celui-ci même
τὸν κατάπτυστον.	celui digne-d'être-conspué.
Εἰ μὲν γὰρ τὰ μέλλοντα	Car si les choses devant-être
ἦν πρόδηλά σοι,	étaient évidentes-d'avance à toi,
Αἰσχίνη, μόνῳ τῶν ἄλλων,	Eschine, seul des autres,
ὅτε ἡ πόλις ἐβουλεύετο	quand la ville délibérait
περὶ τούτων,	sur ces choses,
τότ' ἔδει προλέγειν·	alors il fallait prédire:
εἰ δὲ μὴ προῄδεις,	mais si tu ne prévoyais pas,

θυνος εἶ τοῖς ἄλλοις. Ὥςτε τί μᾶλλον ἐμοῦ σὺ ταῦτα κατηγορεῖς, ἢ ἐγὼ σοῦ; τοσοῦτον γὰρ ἀμείνων ἐγὼ σοῦ πολίτης γέγονα εἰς αὐτὰ ταῦθ' ἃ λέγω (καὶ οὔπω περὶ τῶν ἄλλων διαλέγομαι), ὅσον ἐγὼ μὲν ἔδωκα ἐμαυτὸν εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν, οὐδένα κίνδυνον ὀκνήσας ἴδιον, οὐδ' ὑπολογισάμενος. Σὺ δὲ οὔτε ἕτερα εἶπες βελτίω τούτων (οὐ γὰρ ἂν τούτοις ἐχρῶντο), οὔτ' εἰς ταῦτα χρήσιμον οὐδὲν σεαυτὸν παρέσχες· ὅπερ δ' ἂν φαυλότατος καὶ δυςμενέστατος ἄνθρωπος τῇ πόλει, τοῦτο πεποιηκὼς ἐπὶ τοῖς συμβᾶσιν ἐξήτασαι. Καὶ ἅμα Ἀρίστρατος ἐν Νάξῳ, καὶ Ἀριστόλεως ἐν Θάσῳ, οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως, τοὺς Ἀθηναίων κρίνουσι φίλους, καὶ Ἀθήνησιν Αἰσχίνης Δημοσθένους κατηγορεῖ. Καίτοι ὅτῳ τὰ τῶν Ἑλλήνων ἀτυχήματα ἐνευ-

cachait pour vous-même, vous êtes comptable de la même ignorance que les autres. Pourquoi donc suis-je plutôt accusé par vous, que vous par moi? Cependant je me suis élevé d'autant au-dessus de vous, dans cette circonstance (je ne parle pas encore des autres), que je me suis livré à l'intérêt commun, sans craindre ni considérer pour moi aucun danger. Vous, au contraire, vous n'avez donné aucun avis plus utile; autrement on n'aurait pas suivi le mien : vous n'avez été d'aucun secours à la patrie. Ce que pouvait faire le citoyen le plus vil et le plus mal intentionné, vous le fîtes après l'événement; et tandis qu'Aristrate à Naxos, Aristolaüs à Thasos, ennemis de la république, citaient leurs amis devant les juges, Eschine, dans Athènes même, accusait Démosthène. Mais un homme qui tire sa gloire des malheurs de la Grèce, mérite d'être condamné, au lieu d'en

εἶ ὑπεύθυνος	tu es comptable
τῆς αὐτῆς ἀγνοίας	de la même ignorance
τοῖς ἄλλοις.	*que* les autres.
Ὥςτε τί σὺ	En-sorte-que pourquoi toi
κατηγορεῖς ἐμοῦ ταῦτα	accuses-tu moi *de* ces choses
μᾶλλον ἢ ἐγὼ σοῦ;	plutôt que moi toi?
ἐγὼ γὰρ γέγονα πολίτης	car moi j'ai été citoyen
τοσοῦτον ἀμείνων σοῦ	d'autant meilleur *que* toi
εἰς ταῦτα αὐτὰ	pour ces choses elles-mêmes
ἃ λέγω	que je dis
(καὶ οὔπω διαλέγομαι	(et je ne discours pas-encore
περὶ τῶν ἄλλων),	sur les autres),
ὅσον ἐγὼ ἔδωκα ἐμαυτὸν	que moi j'ai-donné moi-même
εἰς τὰ δοκοῦντα	pour les choses paraissant
συμφέρειν πᾶσιν,	importer à tous,
ὀκνήσας οὐδένα κίνδυνον ἴδιον,	*n'*ayant-craint aucun péril personnel,
οὐδὲ ὑπολογισάμενος.	et n'*y* ayant-pas-eu-égard.
Σὺ δὲ	Mais toi
οὔτε εἶπες ἕτερα	et tu n'as pas dit d'autres choses
βελτίω τούτων	meilleures *que* celles-ci
(οὐ γὰρ ἂν ἐχρῶντο	(car ils n'auraient pas usé
τούτοις),	de celles-ci),
οὔτε παρέσχες σεαυτὸν	et tu n'as pas fourni toi-même
χρήσιμον οὐδὲν	utile *en* rien
εἰς ταῦτα·	pour ces choses;
πεποιηκὼς δὲ τοῦτο,	mais ayant-fait cela,
ὅπερ ἂν ἄνθρωπος φαυλότατος	que *ferait* un homme très-vil
καὶ δυςμενέστατος τῇ πόλει,	et très-mal-intentionné *pour* la ville,
ἐξήτασαι	tu as-fait-des-recherches
ἐπὶ τοῖς συμβᾶσι.	sur les choses étant-arrivées.
Καὶ ἅμα	Et en-même-temps
Ἀρίστρατος ἐν Νάξῳ,	Aristrate dans Naxos,
καὶ Ἀριστόλεως ἐν Θάσῳ,	et Aristolaüs dans Thasos,
οἱ καθάπαξ ἐχθροὶ τῆς πόλεως,	ceux entièrement ennemis de la ville
κρίνουσι	mettent-en-jugement
τοὺς φίλους Ἀθηναίων,	les amis des Athéniens,
καὶ Αἰσχίνης Ἀθήνησι	et Eschine à Athènes
κατηγορεῖ Δημοσθένους.	accuse Démosthène.
Καίτοι οὗτος ὅτῳ	Cependant celui-là auquel
τὰ ἀτυχήματα τῶν Ἑλλήνων	les infortunes des Grecs

δοκιμεῖν ἀπέκειτο, ἀπολωλέναι μᾶλλον οὗτός ἐστι δίκαιος ἢ κατηγορεῖν ἑτέρου· καὶ ὅτῳ συνενηνόχασιν οἱ αὐτοὶ καιροὶ καὶ τοῖς τῆς πόλεως ἐχθροῖς, οὐκ ἔνι τοῦτον εὔνουν εἶναι τῇ πατρίδι· δηλοῖς δὲ καὶ ἐξ ὧν ζῇς, καὶ ποιεῖς, καὶ πολιτεύῃ, καὶ πάλιν οὐ πολιτεύῃ. Πράττεται τι τῶν ὑμῖν δοκούντων συμφέρειν; ἄφωνος Αἰσχίνης. Ἀντέκρουσέ τι, καὶ γέγονεν οἷον οὐκ ἔδει; πάρεστιν Αἰσχίνης· ὥςπερ τὰ ῥήγματα, καὶ τὰ σπάσματα, ὅταν τι κακὸν τὸ σῶμα λάβῃ, τότε κινεῖται.

Ἐπειδὴ δὲ πολὺς τοῖς συμβεβηκόσιν ἔγκειται, βούλομαί τι καὶ παράδοξον εἰπεῖν· καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεὶς τὴν ὑπερβολὴν θαυμάσῃ, ἀλλὰ μετ' εὐνοίας, ὃ λέγω, θεωρησάτω. Εἰ γὰρ ἦν ἅπασι πρόδηλα τὰ μέλλοντα γενήσεσθαι, καὶ

accuser un autre; un homme qui profite des mêmes circonstances que les ennemis de l'État ne saurait être bien intentionné pour la patrie: vous le prouvez, Eschine, par votre vie privée, par votre vie publique, par vos discours, et même par votre silence. Traite-t-on une affaire intéressante pour l'État, Eschine est muet; est-il arrivé un malheur imprévu, Eschine parle. Ainsi, dans nos corps, les fractures et les luxations se réveillent dès qu'il survient quelque maladie.

Mais, puisque l'accusateur insiste si fort sur l'événement, je vais avancer une espèce de paradoxe; que personne, au nom des dieux, ne s'étonne de mon apparente hardiesse, mais que l'on examine ce que je vais dire. Quand même l'avenir eût été connu de tous les Athéniens, que tous les Athéniens l'eussent prévu et que vous,

ἀπέκειτο	**étaient** mises-en-réserve
ἐνευδοκιμεῖν,	*pour* acquérir-de-la-gloire,
ἐστὶ δίκαιος ἀπολωλέναι	est juste de périr
μᾶλλον ἢ κατηγορεῖν ἑτέρου·	plutôt que d'accuser un autre;
καὶ οὐκ ἔνι τοῦτον,	et il n'est pas possible celui-là,
ὅτῳ οἱ αὐτοὶ καιροὶ	auquel les mêmes circonstances
συνενηνόχασι	ont profité
καὶ τοῖς ἐχθροῖς τῆς πόλεως,	et aux ennemis de la ville,
εἶναι εὔνουν τῇ πατρίδι·	être bienveillant *pour* la patrie;
δηλοῖς δὲ	et tu *le* montres
ἐξ ὧν ζῇς,	par *les choses* dont tu vis,
καὶ ποιεῖς, καὶ πολιτεύῃ,	et *que* tu fais, et *que* tu administres
καὶ πάλιν οὐ πολιτεύῃ	et de-nouveau n'administres pas
Τὶ τῶν δοκούντων	Quelqu'une des choses paraissant
συμφέρειν ὑμῖν	être-utiles à vous
πράττεται;	se fait-elle?
Αἰσχίνης ἄφωνος.	Eschine *est* sans voix.
Τὶ	Quelqu'une
ἀντέκρουσε,	est-elle-arrivée-à-contre-temps,
καὶ γέγονεν	et a-t-elle-eu-lieu
οἷον οὐκ ἔδει;	telle *qu'*il ne fallait pas?
Αἰσχίνης πάρεστιν·	Eschine est-présent;
ὥςπερ τὰ ῥήγματα	comme les ruptures
καὶ τὰ σπάσματα	et les convulsions
κινεῖται τότε,	sont-mues alors,
ὅταν τὸ σῶμα λάβῃ τι κακόν.	lorsque le corps a reçu quelque mal.
Ἐπειδὴ δὲ	Mais puisque
ἔγκειται πολὺς	il insiste fréquent
τοῖς συμβεβηκόσι,	*sur* les choses étant-arrivées,
βούλομαι εἰπεῖν τι	je veux dire quelque chose
καὶ παράδοξον·	quoique contraire-à-l'opinion;
καὶ μηδεὶς,	et *que* personne,
πρὸς Διὸς καὶ θεῶν,	au-nom-de Jupiter et des dieux,
θαυμάσῃ τὴν ὑπερβολήν μου,	*ne* s'étonne de l'exagération de moi
ἀλλὰ θεωρησάτω	mais *que chacun* considère
μετὰ εὐνοίας	avec bienveillance
ὃ λέγω.	*ce* que je dis.
Εἰ γὰρ τὰ	Car si les choses
μέλλοντα γενήσεσθαι	devant avoir-lieu
ἦν πρόδηλα ἅπασι,	avaient été évidentes-d'avance à tous

προηδεσαν ἅπαντες, καὶ σὺ προὔλεγες, Αἰσχίνη, καὶ διεμαρτύρου βοῶν καὶ κεκραγώς, ὃς οὐδ' ἐφθέγξω, οὐδ' οὕτως ἀποστατέον τῇ πόλει τούτων ἦν, εἴπερ ἢ δόξης, ἢ προγόνων, ἢ τοῦ μέλλοντος αἰῶνος εἶχε λόγον. Νῦν μὲν γὰρ ἀποτυχεῖν δοκεῖ τῶν πραγμάτων, ὃ πᾶσι κοινόν ἐστιν ἀνθρώποις, ὅταν τῷ θεῷ ταῦτα δοκῇ· τότε δ' ἀξιοῦσα προεστάναι τῶν ἄλλων, εἶτ' ἀποστᾶσα τούτου, Φιλίππῳ προδεδωκέναι πάντας ἂν ἔσχεν αἰτίαν. Εἰ γὰρ ταῦτα προεῖτο ἀκονιτί, περὶ ὧν οὐδένα κίνδυνον ὄντιν' οὐχ ὑπέμειναν οἱ πρόγονοι, τίς ἂν οὐχὶ κατέπτυσεν ἄν σου; μὴ γὰρ δὴ τῆς πόλεώς γε, μηδ' ἐμοῦ. Τίσι δ' ὀφθαλμοῖς, πρὸς Διός, ἑωρῶμεν ἂν τοὺς εἰς τὴν πόλιν ἀνθρώπους ἀφικνουμένους, εἰ τὰ μὲν πράγματα εἰς ὅπερ νυνὶ περιέστη, καὶ ἡγεμὼν καὶ κύριος ἡρέθη Φίλιππος ἁπάντων, τὸν δ' ὑπὲρ τοῦ μὴ γενέσθαι ταῦτα ἀγῶνα ἕτεροι χωρὶς ἡμῶν ἦσαν πεποιημένοι; καὶ ταῦτα, μη-

Eschine, vous l'eussiez prédit, le publiant à grands cris, vous qui n'avez pas ouvert la bouche; la république d'Athènes ne devait pas changer de conduite pour peu qu'elle eût égard à sa propre gloire, à celle de ses ancêtres, au jugement de la postérité. Elle paraît, à présent, avoir échoué dans une entreprise, comme il peut arriver à tous les hommes, si telle est la volonté des dieux; mais alors on l'eût accusée d'avoir livré tous les Grecs à Philippe, si, après avoir prétendu à la prééminence, elle eût renoncé à ce beau privilége. Si jamais elle eût cédé sans combat, ces droits importants, pour lesquels nos ancêtres ont bravé tous les périls, qui n'eût pas eu le dernier mépris pour vous, Eschine? car la république et moi nous serions à l'abri de tout reproche. De quel œil, grands dieux, verrions-nous accourir ici tous les Grecs, si, les affaires étant réduites au point où elles sont, et Philippe nommé chef et arbitre de la Grèce, d'autres, sans nous, eussent pris les armes pour s'opposer à ce déshonneur? et cela, tandis qu'Athènes,

καὶ ἅπαντες προῄδεσαν,	et *si* tous *les* avaient prévues,
καὶ σύ, Αἰσχίνη,	et *si* toi, Eschine,
προὔλεγες,	tu *les* avais prédites,
καὶ διεμαρτύρου	et avais protesté
βοῶν καὶ κεκραγώς,	criant et vociférant,
ὃς οὐδὲ ἐφθέγξω,	*toi* qui n'as pas-même parlé,
οὐδὲ οὕτως ἦν τῇ πόλει	pas-même ainsi il *n'était* à la ville
ἀποστατέον τούτων,	devoir-de-se-désister de ces choses,
εἴπερ εἶχε λόγον	si-toutefois elle avait compte
ἢ δόξης, ἢ προγόνων,	ou de la gloire, ou des ancêtres,
ἢ τοῦ αἰῶνος μέλλοντος.	ou du temps devant-être.
Νῦν μὲν γὰρ δοκεῖ	Maintenant en-effet elle paraît
ἀποτυχεῖν τῶν πραγμάτων,	avoir-manqué les affaires,
ὅ ἐστι κοινὸν πᾶσιν ἀνθρώποις,	*ce* qui est commun à tous les hommes,
ὅταν ταῦτα	lorsque ces *accidents*
δοκῇ τῷ θεῷ·	semblent-bons au dieu;
τότε δὲ ἀξιοῦσα	mais alors se-jugeant-digne
προεστάναι τῶν ἄλλων,	d'être-à-la-tête des autres,
εἶτα ἀποστᾶσα τούτου,	ensuite s'étant-désistée de cela,
ἔσχεν ἂν αἰτίαν	elle aurait eu l'accusation
προδεδωκέναι πάντας Φιλίππῳ.	d'avoir-livré tous à Philippe.
Εἰ γὰρ προεῖτο	Car si elle avait abandonné
ἀκονιτὶ	sans-combat
ταῦτα, περὶ ὧν	ces choses, au-sujet desquelles
οὐδένα κίνδυνον ὄντινα·	*il n'est* aucun danger que
οἱ πρόγονοι οὐχ ὑπέμειναν,	les ancêtres n'ont pas supporté,
τίς ἂν οὐχὶ ἂν κατέπτυσέ σου;	qui n'aurait conspué toi?
μὴ γὰρ δὴ τῆς πόλεώς γε,	car non certes la ville du-moins,
μηδὲ ἐμοῦ.	ni moi.
Τίσι δὲ ὀφθαλμοῖς, πρὸς Διός,	Mais de quels yeux, par Jupiter
ἂν ἑωρῶμεν τοὺς ἀνθρώπους	verrions-nous les hommes
ἀφικνουμένους εἰς τὴν πολιν,	arrivant dans la ville,
εἰ μὲν τὰ πράγματα περιέστη	si les affaires s'étaient arrêtées
εἰς ὅπερ νυνί,	à *ce* qui *est* maintenant,
καὶ Φίλιππος ἡρέθη	et Philippe avait-été-choisi
γε μὼν καὶ κύριος ἁπάντων,	chef et maître de tous,
ἕτεροι δὲ χωρὶς ἡμῶν	et *si* d'autres sans nous
ἦσαν πεποιημένοι τὸν ἀγῶνα	avaient été ayant-fait la lutte
ὑπὲρ τοῦ ταῦτα μὴ γενέσθαι;	pour le ces choses ne pas avoir-lieu?
καὶ ταῦτα, μηδεπώποτε	et cela, jamais-encore

δεπώποτε τῆς πόλεως ἐν τοῖς ἔμπροσθε χρόνοις ἀσφάλειαν ἄδοξον μᾶλλον ἢ τὸν ὑπὲρ τῶν καλῶν κίνδυνον ᾑρημένης. Τίς γὰρ οὐκ οἶδεν Ἑλλήνων, τίς δὲ βαρβάρων, ὅτι καὶ παρὰ Θηβαίων, καὶ παρὰ τῶν ἔτι τούτων πρότερον ἰσχυρῶν γεγενημένων Λακεδαιμονίων, καὶ παρ' αὐτοῦ τοῦ Περσῶν βασιλέως, μετὰ πολλῆς χάριτος τοῦτ' ἂν ἀσμένως ἐδόθη τῇ πόλει, ὅ τι βούλεται λαβούσῃ καὶ τὰ ἑαυτῆς ἐχούσῃ, τὸ κελευόμενον ποιεῖν, καὶ ἐᾷν ἕτερον τῶν Ἑλλήνων προεστάναι; Ἀλλ' οὐκ ἦν ταῦθ', ὡς ἔοικε, τότε πάτρια τοῖς Ἀθηναίοις, οὐδ' ἀνεκτά, οὐδ' ἔμφυτα· οὐδ' ἠδυνήθη πώποτε τὴν πόλιν οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου πεῖσαι, τοῖς ἰσχύουσι μέν, μὴ δίκαια δὲ πράττουσι, προσθεμένην, ἀσφαλῶς δουλεύειν· ἀλλ' ἀγωνιζομένη περὶ πρωτείων καὶ τιμῆς καὶ δόξης καὶ κινδυνεύουσα πάντα τὸν αἰῶνα διατετέλεκε. Καὶ ταῦθ' οὕτω σεμνὰ καὶ προσήκοντα τοῖς ὑμετέροις ἤθεσιν ὑμεῖς ὑπολαμ-

en aucun temps, ne préféra jamais une sûreté honteuse à des dangers honorables! Qui des Grecs, qui des barbares ignore que les Thébains, que les Lacédémoniens, qui avaient la puissance avant eux, que le roi de Perse, nous auraient laissé volontiers toutes nos possessions, nous auraient même accordé toutes nos demandes, si nous eussions voulu recevoir la loi, et permettre à un autre de commander aux Grecs? Mais, sans doute, cette conduite n'était pas supportable pour les Athéniens d'alors; elle n'était ni dans leurs habitudes, ni dans leur caractère. Non, on n'a jamais pu persuader à la république d'Athènes de s'attacher à des peuples puissants, mais injustes, d'acheter son salut au prix de la liberté : mais on l'a vue, dans tous les temps, combattre pour la prééminence, s'exposer pour l'honneur et pour la gloire. Et même, Athéniens, ces principes vous paraissent si beaux et si conformes à votre caractère, que vous comblez de justes éloges

ἐν τοῖς χρόνοις ἔμπροσθε	dans les temps auparavant
τῆς πόλεως ᾑρημένης	la ville *n'*ayant-choisi
ἀσφάλειαν ἄδοξον	une sûreté sans-gloire
μᾶλλον ἢ τὸν κίνδυνον	plutôt que le danger
ὑπὲρ τῶν καλῶν.	pour les belles choses.
Τίς γὰρ Ἑλλήνων,	Car qui des Grecs,
τίς δὲ βαρβάρων	et qui des barbares
οὐκ οἶδεν ὅτι τοῦτο	ne sait pas que cela
ἂν ἐδόθη ἀσμένως τῇ πόλει,	aurait-été-donné volontiers à la ville.
καὶ παρὰ Θηβαίων,	et par les Thébains,
καὶ παρὰ τῶν Λακεδαιμονίων	et par les Lacédémoniens
γεγενημένων ἰσχυρῶν	étant-devenus puissants
ἔτι πρότερον τούτων,	encore avant ceux-ci,
καὶ παρὰ τοῦ βασιλέως	et par le roi
Περσῶν αὐτοῦ,	des Perses lui-même,
μετὰ χάριτος πολλῆς,	avec une faveur grande,
λαβούσῃ ὅ τι βούλεται	ayant-pris ce qu'elle veut
καὶ ἐχούσῃ τὰ ἑαυτῆς,	et ayant les choses d'elle-même,
ποιεῖν τὸ κελευόμενον,	de faire la chose étant-ordonnée,
καὶ ἐᾷν ἕτερον	et de laisser un autre
προεστάναι τῶν Ἑλλήνων;	être-à-la-tête des Grecs?
Ἀλλὰ ταῦτα οὐκ ἦν,	Mais ces choses n'étaient pas,
ὡς ἔοικε,	comme il semble,
πάτρια τοῖς Ἀθηναίοις τότε,	héréditaires aux Athéniens alors,
οὐδὲ ἀνεκτά, οὐδὲ ἔμφυτα·	ni supportables, ni innées;
οὐδὲ οὐδεὶς ἐκ παντὸς τοῦ χρόνου	ni personne de tout le temps
ἠδυνήθη πώποτε	*ne* put jamais
πεῖσαι τὴν πόλιν,	persuader à la ville,
προσθεμένην μὲν τοῖς ἰσχύουσι,	s'étant-jointe à ceux étant-forts,
πράττουσι δὲ μὴ δίκαια,	mais faisant *des choses* non justes,
δουλεύειν ἀσφαλῶς·	d'être-esclave en-sûreté;
ἀλλὰ διατετέλεκε	mais elle a persévéré
πάντα τὸν αἰῶνα	*pendant* tout le temps
ἀγωνιζομένη περὶ πρωτείων	combattant pour la prééminence
καὶ τιμῆς καὶ δόξης,	et l'honneur et la gloire,
καὶ κινδυνεύουσα.	et courant-des-dangers.
Καὶ ὑμεῖς ὑπολαμβάνετε	Et vous vous pensez
ταῦτα εἶναι οὕτω σεμνὰ	ces choses être si magnifiques
καὶ προσήκοντα	et convenant
τοῖς ἤθεσιν ὑμετέροις,	aux mœurs vôtres,

βάνετε εἶναι ὥςτε καὶ τῶν προγόνων τοὺς ταῦτα πράξαντας μάλιστ' ἐπαινεῖτε. Εἰκότως· τίς γὰρ οὐκ ἂν ἀγάσαιτο τῶν ἀνδρῶν ἐκείνων τῆς ἀρετῆς, οἳ καὶ τὴν χώραν καὶ τὴν πόλιν ἐκλιπεῖν ὑπέμειναν, εἰς τὰς τριήρεις ἐμβάντες, ὑπὲρ τοῦ μὴ τὸ κελευόμενον ποιῆσαι; τὸν μὲν ταῦτα συμβουλεύσαντα, Θεμιστοκλέα, στρατηγὸν ἑλόμενοι, τὸν δ' ὑπακούειν τοῖς ἐπιταττομένοις ἀποφηνάμενον, Κυρσίλον, καταλιθώσαντες· οὐ μόνον αὐτόν, ἀλλὰ καὶ αἱ γυναῖκες αἱ ὑμέτεραι τὴν γυναῖκα αὐτοῦ. Οὐ γὰρ ἐζήτουν οἱ τότε Ἀθηναῖοι οὔτε ῥήτορα, οὔτε στρατηγόν, δι' ὅτου δουλεύσουσιν εὐτυχῶς· ἀλλ' οὐδὲ ζῆν ἠξίουν, εἰ μὴ μετ' ἐλευθερίας ἐξέσται τοῦτο ποιεῖν. Ἡγεῖτο γὰρ αὐτῶν ἕκαστος οὐχὶ τῷ πατρὶ καὶ τῇ μητρὶ μόνον γεγενῆσθαι, ἀλλὰ καὶ τῇ πατρίδι. Διαφέρει δὲ τί; ὅτι ὁ μὲν τοῖς γονεῦσι μόνον γεγενῆσθαι νομίζων, τὸν

ceux de vos ancêtres qui les ont suivis. Qui n'admirerait, en effet, le courage et la résolution de ces grands hommes qui, abandonnant leur pays et leur ville, sont montés sur leurs vaisseaux pour éviter de souscrire aux volontés d'un maître? Thémistocle, qui leur donnait ce conseil, fut élu général; Cyrsile, qui lui conseillait d'obéir, fut lapidé par vous; et non-seulement lui, mais sa femme elle-même fut lapidée par les vôtres. Car les Athéniens d'autrefois ne cherchaient pas un orateur, un général, qui leur procurât une heureuse servitude; ces fiers républicains auraient mieux aimé ne pas vivre, que de vivre esclaves. Chacun d'eux ne se croyait pas né seulement pour ses parents et pour ses proches, mais pour sa patrie avant tout. Et pourquoi? c'est qu'un citoyen qui se croit né seulement pour ses parents et pour ses proches, attend de la nature la mort qu'elle lui

ὥςτε καὶ ἐπαινεῖτε μάλιστα	que aussi vous louez le-plus
τοὺς πράξαντας ταῦτα	ceux ayant-fait ces choses
τῶν προγόνων.	des ancêtres.
Εἰκότως·	Avec-raison :
τίς γὰρ οὐκ ἂν ἀγάσαιτο	car qui n'admirerait
τῆς ἀρετῆς ἐκείνων τῶν ἀνδρῶν,	la vertu de ces hommes,
οἳ ὑπέμειναν	qui supportèrent
λιπεῖν	d'abandonner
καὶ τὴν χώραν καὶ τὴν πόλιν,	et le pays et la ville,
ἐμβάντες εἰς τὰς τριήρεις,	étant-entrés dans les trirèmes,
ὑπὲρ τοῦ μὴ ποιῆσαι	pour le ne pas faire
τὸ κελευόμενον;	la chose étant-ordonnée ?
ἑλόμενοι μὲν στρατηγὸν	ayant-choisi *pour* général
Θεμιστοκλέα,	Thémistocle,
τὸν συμβουλεύσαντα ταῦτα,	celui ayant-conseillé ces choses,
καταλιθώσαντες δὲ Κυρσίλον[85],	mais ayant-lapidé Cyrsile
τὸν ἀποφηνάμενον	celui ayant-mis-au-jour *l'avis*
ὑπακούειν	d'obéir
τοῖς ἐπιταττομένοις·	aux choses étant-enjointes;
οὐ μόνον αὐτόν,	non seulement lui,
ἀλλὰ καὶ αἱ γυναῖκες	mais encore les femmes
αἱ ὑμέτεραι	les vôtres
τὴν γυναῖκα αὐτοῦ.	la femme de lui.
Οἱ γὰρ Ἀθηναῖοι τότε	Car les Athéniens alors
οὐκ ἐζήτουν	ne cherchaient
οὔτε ῥήτορα,	ni un orateur,
οὔτε στρατηγόν,	ni un général,
διὰ ὅτου	au-moyen duquel
δουλεύσουσιν εὐτυχῶς·	ils seraient-esclaves heureusement;
ἀλλὰ οὐδὲ ἠξίουν ζῆν,	mais ils n'estimaient pas vivre,
εἰ μὴ ἐξέσται	s'il n'était-permis
ποιεῖν τοῦτο μετὰ ἐλευθερίας.	de faire cela avec liberté.
Ἕκαστος γὰρ αὐτῶν ἡγεῖτο	Car chacun d'eux pensait
οὐ γεγενῆσθαι μόνον	ne pas être-né seulement
τῷ πατρὶ καὶ τῇ μητρί,	*pour* le père et la mère,
ἀλλὰ καὶ τῇ πατρίδι.	mais encore *pour* la patrie.
Τί δὲ διαφέρει;	Mais quoi diffère ?
ὅτι ὁ μὲν νομίζων	que celui pensant
γεγενῆσθαι μόνον	être-né seulement
τοῖς γονεῦσι,	*pour* les parents,

τῆς εἱμαρμένης καὶ τὸν αὐτόματον θάνατον περιμένει· ὁ δὲ καὶ τῇ πατρίδι, ὑπὲρ τοῦ μὴ ταύτην ἐπιδεῖν δουλεύουσαν ἀποθνήσκειν ἐθελήσει, καὶ φοβερωτέρας ἡγήσεται τὰς ὕβρεις καὶ τὰς ἀτιμίας, ἃς ἐν δουλευούσῃ τῇ πόλει φέρειν ἀνάγκη, τοῦ θανάτου.

Εἰ μὲν τοίνυν τοῦτ' ἐπεχείρουν λέγειν, ὡς ἄρα ἐγὼ προήγαγον ὑμᾶς ἄξια τῶν προγόνων φρονεῖν, οὐκ ἔστιν ὅστις οὐκ ἂν εἰκότως ἐπιτιμήσειέ μοι. Νῦν δ' ἐγὼ μὲν ὑμετέρας τὰς τοιαύτας προαιρέσεις ἀποφαίνω, καὶ δείκνυμι ὅτι καὶ πρὸ ἐμοῦ τοῦτ' εἶχε τὸ φρόνημα ἡ πόλις· τῆς μέντοι διακονίας τῆς ἐφ' ἑκάστοις τῶν πεπραγμένων, καὶ ἐμαυτῷ μετεῖναί φημι· οὗτος δὲ τῶν ὅλων κατηγορῶν, κελεύων ὑμᾶς ἐμοὶ πικρῶς ἔχειν, ὡς φόβων καὶ κινδύνων αἰτίῳ τῇ πόλει γεγενημένῳ, τῆς μὲν εἰς τὸ παρὸν τιμῆς ἐμὲ ἀποστερῆσαι γλίχεται, τὰ δ' εἰς ἅπαντα τὸν λοιπὸν

prépare; celui, au contraire, qui se croit né surtout pour sa patrie, ira au-devant du trépas pour ne la point voir dans l'esclavage; et il regarderait comme plus terribles que la mort, la honte et les insultes qu'il lui faudrait essuyer dans une ville asservie.

Si donc j'osais dire que c'est moi, Démosthène, qui vous inspirai des sentiments dignes de vos ancêtres, il n'y a personne qui ne fût en droit de me reprendre; mais je déclare que les résolutions courageuses vous appartiennent, je montre que la république pensait avant moi avec la même noblesse, en même temps que je réclame ma part, comme administrateur, de tout ce qu'elle a fait de glorieux; mais en m'imputant tout, en vous animant contre moi, comme si j'étais cause de vos périls et de vos alarmes, Eschine veut me frustrer d'une couronne pour le moment; ce qui serait vous ravir les éloges de tous les

περιμένει τὸν θάνατον	attend la mort
τῆς εἱμαρμένης	du *jour* ayant-été-réglé-par-le-destin
καὶ τὸν αὐτόματον·	et la naturelle;
ὁ δὲ	mais celui *pensant être-ne*
καὶ τῇ πατρίδι,	aussi *pour* la patrie,
ἐθελήσει ἀποθνήσκειν	voudra mourir
ὑπὲρ τοῦ μὴ ἐπιδεῖν	pour le ne pas voir
ταύτην δουλεύουσαν,	elle étant-esclave,
καὶ ἡγήσεται τας ὕβρεις	et estimera les outrages
καὶ τὰς ἀτιμίας,	et les déshonneurs,
ἃς ἀνάγκη φέρειν	que nécessité *est* de supporter
ἐν τῇ πόλει δουλευούσῃ,	dans la ville étant-esclave,
φοβερωτέρας τοῦ θανάτου.	plus terribles *que* la mort.
Εἰ μὲν τοίνυν	Si donc
ἐπεχείρουν λέγειν τοῦτο,	j'entreprenais de dire ceci,
ἄρα ὡς ἐγὼ	savoir que moi
προήγαγον ὑμᾶς	j'ai engagé vous
φρονεῖν ἄξια	à penser des choses dignes
τῶν προγόνων,	des ancêtres,
οὐκ ἔστιν ὅστις	il n'est pas quelqu'un-qui
οὐκ ἂν ἐπιτιμήσειέ μοι	ne blâmerait pas moi
εἰκότως.	avec-raison.
Νῦν δὲ ἐγὼ μὲν	Mais maintenant moi
ἀποφαίνω ὑμετέρας	je déclare vôtres
τὰς προαιρέσεις τοιαύτας,	les déterminations telles
καὶ δείκνυμι ὅτι ἡ πόλις	et je montre que la ville
εἶχε τοῦτο τὸ φρόνημα	avait ce sentiment
καὶ πρὸ ἐμοῦ·	aussi avant moi;
φημὶ μέντοι	je dis cependant
μετεῖναι καὶ ἐμαυτῷ	être participation aussi à moi-même
τῆς διακονίας	de l'administration
τῆς ἐπὶ ἑκάστοις	celle pour chacune
τῶν πεπραγμένων·	des choses ayant-été-faites;
οὗτος δὲ κατηγορῶν τῶν ὅλων,	mais celui-ci accusant le tout,
κελεύων ὑμᾶς	invitant vous
ἔχειν πικρῶς ἐμοί,	à être-amèrement *contre* moi
ὡς γεγενημένῳ τῇ πόλει	comme ayant-été *pour* la ville
αἰτίῳ φόβων καὶ κινδύνων,	cause de craintes et de dangers,
γλίχεται μὲν ἀποστερῆσαι ἐμὲ	désire priver moi
τῆς τιμῆς εἰς τὸ παρόν,	de l'honneur pour le présent.

χρόνον ἐγκώμια ὑμῶν ἀφαιρεῖται. Εἰ γάρ, ὡς οὐ τὰ βέλτιστα ἐμοῦ πολιτευσαμένου, τουδὶ καταψηφιεῖσθε, ἡμαρτηκέναι δόξετε, οὐ τῇ τῆς τύχης ἀγνωμοσύνῃ τὰ συμβάντα παθεῖν. Ἀλλ' οὐκ ἔστιν, οὐκ ἔστιν ὅπως ἡμάρτετε, ἄνδρες Ἀθηναῖοι, τὸν ὑπὲρ τῆς ἁπάντων ἐλευθερίας καὶ σωτηρίας κίνδυνον ἀράμενοι, μὰ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, καὶ τοὺς ἐν Πλαταιαῖς παραταξαμένους, καὶ τοὺς ἐν Σαλαμῖνι ναυμαχήσαντας, καὶ τοὺς ἐπ' Ἀρτεμισίῳ, καὶ πολλοὺς ἑτέρους τοὺς ἐν τοῖς δημοσίοις μνήμασι κειμένους ἀγαθοὺς ἄνδρας, οὓς ἅπαντας ὁμοίως ἡ πόλις τῆς αὐτῆς ἀξιώσασα τιμῆς ἔθαψεν, Αἰσχίνη, οὐχὶ τοὺς κατορθώσαντας αὐτῶν οὐδὲ τοὺς κρατήσαντας μόνους. Δικαίως· ὃ μὲν γὰρ ἦν ἀνδρῶν ἀγαθῶν ἔργον, ἅπασι πέπρα-

siècles à venir. Oui, si, condamnant l'auteur du décret, vous improuvez mon administration, on dira que vous avez failli, et non pas que vous avez subi les rigueurs d'une injuste fortune. Mais non, Athéniens, non, vous n'avez point failli en vous exposant volontairement pour le salut et la liberté de tous les Grecs, j'en jure par les mânes de nos ancêtres qui ont combattu pour la Grèce à Marathon, par ceux qui ont combattu à Platée, à Artémise, à Salamine, généreux citoyens dont les corps reposent dans les tombeaux publics. L'État les a tous honorés de la même sépulture, oui, Eschine, et non pas seulement ceux dont la fortune a secondé la valeur. Cette conduite était juste; car

ἀφαιρεῖται δὲ ὑμῶν	mais enlève à vous
τὰ ἐγκώμια	les éloges
εἰς ἅπαντα τὸν χρόνον λοιπόν.	pour tout le temps restant.
Εἰ γὰρ	Car si
καταψηφιεῖσθε τουδί,	vous condamnez-par-suffrage celui-ci,
ὡς ἐμοῦ οὐ πολιτευσαμένου	comme moi n'ayant pas administré
τὰ βέλτιστα,	les meilleures choses,
δόξετε ἡμαρτηκέναι,	vous paraîtrez avoir-failli,
οὐ παθεῖν	non avoir-souffert
τὰ συμβάντα	les *malheurs* étant-arrivés
τῇ ἀγνωμοσύνῃ τῆς τύχης.	*par* l'injustice de la fortune.
Ἀλλὰ οὐκ ἔστιν,	Mais il n'est pas,
οὐκ ἔστιν ὅπως ἡμάρτετε,	il n'est pas comment vous avez failli,
ἄνδρες Ἀθηναῖοι,	hommes Athéniens,
ἀράμενοι τὸν κίνδυνον	ayant-supporté le danger
ὑπὲρ τῆς ἐλευθερίας	pour la liberté
καὶ σωτηρίας ἁπάντων,	et le salut de tous,
μὰ τοὺς τῶν προγόνων	par ceux des ancêtres
προκινδυνεύσαντας	s'étant-exposés-les-premiers
ἐν Μαραθῶνι,	à Marathon,
καὶ τοὺς παραταξαμένους	et ceux s'étant-rangés-contre-*l'ennemi*
ἐν Πλαταιαῖς,	à Platée,
καὶ τοὺς ναυμαχήσαντας	et ceux ayant-combattu-navalement
ἐν Σαλαμῖνι,	à Salamine,
καὶ τοὺς ἐπὶ Ἀρτεμισίῳ,	et ceux à Artémise,
καὶ πολλοὺς ἑτέρους	et de nombreux autres
ἄνδρας ἀγαθοὺς	hommes braves
τοὺς κειμένους	ceux étant-couchés
ἐν τοῖς μνήμασι δημοσίοις[86],	dans les monuments publics,
οὓς ἅπαντας ὁμοίως	que tous également
ἡ πόλις ἀξιώσασα	la ville ayant-jugés-dignes
τῆς αὐτῆς τιμῆς	du même honneur
ἔθαψεν, Αἰσχίνη,	a ensevelis, Eschine,
οὐχὶ τοὺς	non ceux
κατορθώσαντας αὐτῶν	ayant-réussi d'*entre* eux,
οὐδὲ τοὺς κρατήσαντας μόνους.	ni ceux ayant-vaincu seuls.
Δικαίως·	Justement :
ὃ μὲν γὰρ ἦν	car *ce* qui était
ἔργον ἀνδρῶν ἀγαθῶν	l'œuvre d'hommes braves
πέπρακται ἅπασι·	a-été-fait *par* tous ;

κται· τῇ τύχῃ δέ, ἣν ὁ δαίμων ἀπένειμεν ἑκάστοις, ταύτῃ κέχρηνται.

Ἔπειτ', ὦ κατάρατε, καὶ γραμματοκύφων, σὺ μὲν τῆ παρὰ τουτωνὶ τιμῆς καὶ φιλανθρωπίας ἐμὲ ἀποστερῆσαι βουλόμενος, τρόπαια καὶ μάχας καὶ παλαιὰ ἔργα ἔλεγες, ὧν τίνο προςεδεῖτο ὁ παρὼν ἀγὼν οὑτοσί; ἐμὲ δέ, ὦ τριταγωνιστά, τὸν περὶ τῶν πρωτείων σύμβουλον τῇ πόλει παριόντα, τὸ τίνος φρόνημα λαβόντα ἀναβαίνειν ἐπὶ τὸ βῆμα ἔδει; τὸ τοῦ τούτων ἀνάξια ἐροῦντος; δικαίως μέντ' ἂν ἀπέθανον.

Ἔπειτ' οὐδ' ὑμᾶς, ἄνδρες Ἀθηναῖοι, ἀπὸ τῆς αὐτῆς διανοίας δεῖ τάς τε ἰδίας δίκας καὶ τὰς δημοσίας κρίνειν· ἀλλὰ τὰ μὲν τοῦ καθ' ἡμέραν βίου συμβόλαια, ἐπὶ τῶν ἰδίων νόμων καὶ ἔργων σκοποῦντας, τὰς δὲ κοινὰς προαιρέσεις, εἰς τὰ τῶν προγόνων ἀξιώματα ἀποβλέποντας· καὶ παραλαμβάνειν γε, ἅμα

tous avaient montré le même courage, quoiqu'ils eussent éprouvé chacun le sort que leur réservait la divinité.

Après cela, calomniateur odieux, vil et méprisable greffier, afin de m'enlever l'estime et la bienveillance des Athéniens, vous nous avez détaillé les belles actions, les combats et les trophées de nos ancêtres, comme si la cause avait besoin de ce détail. Pour moi, orateur de la république, qui voulais l'engager à combattre pour la prééminence, quels sentiments, indigne histrion, devais-je porter à la tribune? ceux d'un homme qui lui conseillât des bassesses? La mort eût été mon juste partage.

Enfin, Athéniens, on ne doit pas juger dans le même esprit les causes des particuliers et les causes publiques. Les affaires des particuliers se décident d'après les lois et les usages communs, mais dans les grands intérêts de l'État, la gloire de nos ancêtres est l'unique loi qu'il faut consulter. Chacun des juges, s'il ne veut rien faire qu'elle

κεχρηνται δὲ	mais ils ont usé
ταύτῃ τῇ τύχῃ,	de cette fortune,
ἣν ὁ δαίμων	que la divinité
ἀπένειμεν ἑκάστοις.	a dispensée à chacun.
Ἔπειτα, ὦ κατάρατε,	Ensuite, ô exécrable,
καὶ γραμματοκύφων,	et misérable-scribe,
σὺ μὲν βουλόμενος	toi voulant
ἀποστερῆσαι ἐμὲ	dépouiller moi
τῆς τιμῆς καὶ φιλανθρωπίας	de l'estime et amitié
παρὰ τουτωνὶ	de-la-part-de ceux-ci
ἔλεγες τρόπαια καὶ μάχας,	tu as dit des trophées et des combats
καὶ ἔργα παλαιά,	et des actions anciennes,
τίνος ὧν	de laquelle desquelles choses
προςεδεῖτο	avait-besoin
οὑτοσὶ ὁ ἀγὼν παρών,	cette lutte présente?
τίνος δὲ ἔδει με,	mais de qui fallait-il moi,
ὦ τριταγωνιστά,	ô histrion-de-troisième-ordre,
τὸν σύμβουλον	le conseiller
περὶ τῶν πρωτείων,	sur la prééminence,
παριόντα τῇ πόλει,	m'avançant-devant la ville,
λαβόντα τὸ φρόνημα	ayant-pris le sentiment
ἀναβαίνειν ἐπὶ τὸ βῆμα;	monter à la tribune?
τὸ τοῦ ἐροῦντος	celui de celui devant-demander
ἀνάξια τούτων;	des choses indignes de ceux-ci?
καὶ οὐδεὶς ἂν ἔχοι εἰπεῖν	et personne *n'*aurait à dire
οὐδὲν ἄλλο	aucune autre chose
παρὰ ταῦτα.	contre celles-ci.
Σκέψασθε δὲ πῶς	Mais considérez comment *étaient*
τὰ τοῦ Φιλίππου,	les *affaires* de Philippe,
πρὸς ὃν ὁ ἀγὼν ἦν ἡμῖν.	contre lequel la lutte était à nous.
Πρῶτον μὲν ἦρχε	D'abord il commandait
τῶν ἀκολουθούντων,	ceux suivant *lui*,
ὢν αὐτὸς αὐτοκράτωρ,	étant lui-seul maître-absolu.
ὅ ἐστι μέγιστον	*ce* qui est la-plus-grande
ἁπάντων τῶν εἰς τὸν πόλεμον·	de toutes les choses pour la guerre,
εἶτα οὗτοι εἶχον ἀεὶ	ensuite ceux-ci avaient toujours
τὰ ὅπλα ἐν ταῖς χερσίν·	les armes dans les mains ;
ἔπειτα εὐπόρει	ensuite il abondait
χρημάτων, καὶ ἔπραττεν	*en* sommes-d'argent, et faisait
ἃ δόξειεν αὐτῷ,	*les choses* qui semblaient-bonnes à lui
οὐ προλέγων ἐν τοῖς ψηφίσμασιν,	ne disant pas d'avance dans les dé-
οὐδὲ βουλευόμενος	et ne délibérant pas [crets,
ἐν τῷ φανερῷ,	dans l'évidence,
οὐδὲ κρινόμενος	et n'étant pas mis-en-jugement
ὑπὸ τῶν συκοφαντούντων,	par ceux calomniant,
οὐδὲ φεύγων γραφὰς	et ne fuyant pas des accusations
παρανόμων,	de choses illégales,
οὐδὲ ὢν ὑπεύθυνος οὐδενί,	et n'étant comptable à personne,
ἀλλὰ ὢν ἁπλῶς	mais étant entièrement
αὐτὸς δεσπότης, ἡγεμών,	lui-même possesseur, chef,
κύριος πάντων.	maître de toutes choses.
Ἐγὼ δέ,	Mais moi,
ὁ ἀντιτεταγμένος	celui ayant-été-opposé
πρὸς τοῦτον	contre celui-ci
(καὶ γὰρ δίκαιον	(et en effet *il est* juste
ἐξετάσαι τοῦτο),	d'examiner ceci)

σαι δίκαιον), τίνος κύριος ἦν; οὐδενός. Αὐτὸ γὰρ τὸ δημηγορεῖν πρῶτον, οὗ μόνου μετεῖχον ἐγώ, ἐξ ἴσου προὐτίθετε ὑμεῖς τοῖς παρ' ἐκείνου μισθαρνοῦσι καὶ ἐμοί, καὶ ὅσα οὗτοι περιγένοιντο ἐμοῦ (πολλὰ δ' ἐγίγνετο ταῦτα, δι' ἣν ἕκαστον τύχοι πρόφασιν), ταῦθ' ὑπὲρ τῶν ἐχθρῶν ἀπῆτε βεβουλευμένοι.

Ἀλλ' ὅμως ἐκ τοιούτων ἐγὼ ἐλαττωμάτων, συμμάχους μὲ ὑμῖν ἐποίησα Εὐβοέας, Ἀγαιούς, Κορινθίους, Θηβαίους, Μεγαρέας, Λευκαδίους, Κερκυραίους· ἀφ' ὧν μύριοι μὲν καὶ πεντακισχίλιοι ξένοι, δισχίλιοι δ' ἱππεῖς, ἄνευ τῶν πολιτικῶν δυνάμεων, συνήχθησαν. Χρημάτων δέ, ὅσων ἠδυνήθην ἐγώ, πλείστην συντέλειαν ἐποίησα. Εἰ δὲ λέγεις ἢ τὰ πρὸς Θηβαίους δίκαια, Αἰσχίνη, ἢ τὰ πρὸς Βυζαντίους, ἢ τὰ πρὸς Εὐβοέας, ἢ περὶ τῶν ἴσων νυνὶ διαλέγῃ, πρῶτον μὲν ἀγνοεῖς ὅτι καὶ πρό-

disposition? Rien. Le droit même de monter à la tribune, seul avantage que je pusse lui opposer, je le partageais avec ses mercenaires; et chaque fois qu'ils l'emportaient sur mes conseils, ce qui n'arrivait que trop souvent sous divers prétextes, vos résolutions furent prises en faveur de l'ennemi.

Malgré d'aussi grands désavantages, je vous procurai l'alliance des peuples de l'Eubée, de l'Achaïe, de Corinthe, de Thèbes, de Mégares, de Leucade, de Corcyre; ces alliances vous ont donné quinze mille hommes d'infanterie et deux mille de cavalerie, sans compter les troupes de la république. Quant aux subsides, je les fis monter le plus haut que je pus. Si, vous rejetant sur ce que devaient fournir pour leur part les Thébains, les Byzantins et les Eubéens, vous disputez, Eschine, sur l'égalité des répartitions, vous ignorez, sans

τίνος ἦν κύριος;	de quoi étais-je maître?
οὐδενός.	de rien.
Πρῶτον γὰρ ὑμεῖς προὐτίθετε	Car d'abord vous offriez
τὸ δημηγορεῖν αὐτό,	le haranguer-le-peuple même,
οὗ μόνον ἐγὼ μετεῖχον,	auquel seulement je participais,
ἐξ ἴσου τοῖς μισθαρνοῦσι	également à ceux recevant-salaire
παρὰ ἐκείνου	de-la-part de celui-là
καὶ ἐμοί,	et à moi,
καὶ ἀπῆτε	et vous vous en alliez
βεβουλευμένοι ὑπὲρ τῶν ἐχθρῶν	ayant-décidé pour les ennemis
ταῦτα, ὅσα	ces choses, *dans* lesquelles-toutes
οὗτοι περιγένοιντο ἐμοῦ	ceux-ci avaient-été-supérieurs à moi
(ταῦτα δὲ ἐγίγνετο πολλά,	(et celles-ci étaient nombreuses,
διὰ πρόφασιν	au-moyen du prétexte
ἣν ἕκαστον τύχοι).	que chacune avait rencontré).
Ἀλλὰ ὅμως ἐγώ,	Mais cependant moi,
ἐξ ἐλαττωμάτων τοιούτων,	après des désavantages tels,
ἐποίησα μὲν συμμάχους ὑμῖν	je fis alliés à vous
Εὐβοέας, Ἀχαιούς,	les Eubéens, les Achéens,
Κορινθίους, Θηβαίους,	les Corinthiens, les Thébains,
Μεγαρέας, Λευκαδίους,	les Mégariens, les Leucadiens,
Κερκυραίους·	les Corcyréens;
ἀπὸ ὧν μύριοι μὲν	par lesquels dix-mille
καὶ πεντακισχίλιοι ξένοι,	et cinq-mille étrangers,
δισχίλιοι δὲ ἱππεῖς,	et deux-mille cavaliers,
ἄνευ τῶν δυνάμεων πολιτικῶν,	sans les forces des-villes,
συνήχθησαν.	furent-rassemblés.
Ἐποίησα δὲ	Et je fis
συντέλειαν πλείστην	la contribution la-plus-nombreuse
χρημάτων,	de sommes-d'argent,
ὅσων ἐγὼ ἠδυνήθην	de toutes-celles-que moi je pus.
Εἰ δὲ λέγεις, Αἰσχίνη,	Mais si tu dis, Eschine,
ἢ τὰ δικαια	ou les *charges* justes
πρὸς Θηβαιους,	*revenant* aux Thébains,
ἢ τὰ πρὸς Βυζαντίους	ou celles aux Byzantins,
ἢ τὰ πρὸς Εὐβοέας,	ou celles aux Eubéens,
ἢ διαλέγῃ νυνὶ	ou *si* tu dissertes maintenant
περὶ τῶν ἴσων,	sur les *charges* égales,
πρῶτον μὲν ἀγνοεῖς	d'abord tu ignores
ὅτι καὶ πρότερον	que aussi précédemment

τερον τῶν ὑπὲρ τῶν Ἑλλήνων ἐκείνων ἀγωνισαμένων τριηρων, τριακοσίων οὐσῶν τῶν πασῶν, τὰς διακοσίας ἡ πόλις παρέσχετο, καὶ οὐκ ἐλαττοῦσθαι νομίζουσα, οὐδὲ κρίνουσα τοὺς ταῦτα συμβουλεύσαντας, οὐδὲ ἀγανακτοῦσα ἐπὶ τούτοις ἐωρᾶτο (αἰσχρὸν γάρ), ἀλλὰ τοῖς θεοῖς ἔχουσα χάριν, εἰ, κοινοῦ κινδύνου τοῖς Ἕλλησι περιστάντος, αὐτὴ διπλάσια τῶν ἄλλων εἰς τὴν ἁπάντων σωτηρίαν παρέσχετο. Εἶτα κενάς γε χαρίζῃ χάριτας τουτοισί, συκοφαντῶν ἐμέ. Τί γὰρ νῦν λέγεις οἷα ἐχρῆν πράττειν, ἀλλ' οὐ τότ', ὢν ἐν τῇ πόλει καὶ παρών, ταῦτ' ἔγραφες; εἴπερ ἐνεδέχετο παρὰ τοὺς παρόντας καιρούς, ἐν οἷς οὐχ ὅσα ἂν ἐβουλόμεθα, ἀλλ' ὅσα δοίη τὰ πράγματα, ἔδει δέχεσθαι. Ὁ γὰρ ἀντωνούμενος, καὶ ταχὺ τοὺς παρ' ἡμῶν ἀπελαυνομένους προσδεξόμενος, και χρήματα προσθήσων, ὑπῆρχεν ἕτοιμος.

Ἀλλ' εἰ νῦν ἐπὶ τοῖς πεπραγμένοις κατηγορίας ἔχω, τί ἂν

doute que, de trois cents vaisseaux que la Grèce avait équipés jadis pour sa défense, la république seule en fournit deux cents pour sa part; elle ne se crut pourtant pas lésée, elle n'accusa point ceux qui lui avaient donné ce conseil, et ne leur témoigna nulle indignation (c'eût été pour elle un opprobre), mais elle rendit grâces aux dieux de ce que dans le péril commun, et pour le salut de la Grèce, elle seule fournissait le double de tous les autres ensemble. C'est en vain que vous voulez paraître servir les Athéniens, en me calomniant; pourquoi ne dire qu'à présent ce qu'il était à propos de faire? Pourquoi ne l'avoir pas alors proposé, vous qu étiez dans Athènes, qui vous trouviez aux assemblées? si toutefois nous pouvions agir autrement dans ces conjonctures critiques où nous étions forcés d'accepter non ce que nous aurions voulu, mais ce que nous présentait la fortune. Un autre était là pour marchander, pour enchérir, et recevoir les peuples que gous aurions rejetés.

On attaque aujourd'hui ce que je fis alors; mais, Athéniens, si par des

ἡ πόλις παρέσχετο τὰς διακοσίας
ἐκείνων τῶν τριήρων,
τῶν ἀγωνισαμένων
ὑπὲρ τῶν Ἑλλήνων,
τῶν πασῶν οὐσῶν τριακοσίων,
καὶ οὐχ ἑωρᾶτο
νομίζουσα ἐλαττοῦσθαι,
οὐδὲ κρίνουσα
τοὺς συμβουλεύσαντας ταῦτα,
οὐδὲ ἀγανακτοῦσα ἐπὶ τούτοις
(αἰσχρὸν γάρ),
ἀλλὰ ἔχουσα χάριν τοῖς θεοῖς,
εἰ, κινδύνου κοινοῦ
περιστάντος τοῖς Ἕλλησιν,
αὐτὴ παρέσχετο
διπλάσια τῶν ἄλλων
εἰς τὴν σωτηρίαν ἁπάντων.
Εἶτα χαρίζῃ τουτοισὶ
χάριτας κενάς γε,
συκοφαντῶν ἐμέ.
Τί γὰρ λέγεις νῦν
οἷα ἐχρῆν πράττειν,
ἀλλὰ οὐκ ἔγραφες ταῦτα τότε,
ὢν ἐν τῇ πόλει
καὶ παρών;
εἴπερ ἐνεδέχετο
παρὰ τοὺς καιροὺς παρόντας
ἐν οἷς ἔδει δέχεσθαι,
οὐχ ὅσα
ἂν ἐβουλόμεθα,
ἀλλὰ ὅσα
τὰ πράγματα δοίη.
Ὁ γὰρ ἀντωνούμενος,
καὶ προσδεξόμενος ταχὺ
τοὺς ἀπελαυνομένους παρὰ ἡμῶν,
καὶ προσθήσων χρήματα,
ὑπῆρχεν ἕτοιμος.
Ἀλλὰ εἰ νῦν
ἔχω κατηγορίας
ἐπὶ τοῖς πεπραγμένοις,

la ville a fourni les deux-cents
de ces trirèmes,
celles ayant-combattu
pour les Grecs,
les toutes étant trois-cents,
et elle ne fut pas vue
pensant avoir-du-désavantage,
ni mettant-en-jugement
ceux ayant-conseillé ces choses,
ni s'indignant contre ceux-ci
(car *c'eût été* honteux),
mais ayant grâce aux dieux,
si, un danger commun
environnant les Grecs,
elle-seule fournissait
des choses doubles des autres
pour le salut de tous.
Ensuite tu rends à ceux-ci
de bons-offices vains certes,
calomniant moi
Car pourquoi dis-tu maintenant
les choses telles qu'il fallait faire,
mais n'écrivais-tu pas elles alors,
étant dans la ville
et étant-présent?
si toutefois il était-possible
pendant les circonstances présentes
dans lesquelles il fallait accepter,
non toutes-les-choses-que
nous aurions-voulues,
mais toutes-celles-que
les affaires donnaient.
Car celui achetant-à-l'enchère,
et devant-accueillir aussitôt
ceux étant repoussés de chez nous,
et devant-ajouter des sommes-d'ar-
se trouvait prêt. [gent,
Mais si maintenant
j'ai des accusations
pour les choses ayant-été-faites,

οἴεσθε, εἰ τότ' ἐμοῦ περὶ τούτων ἀκριβολογουμένου, ἀπῆλθον αἱ πόλεις καὶ προσέθεντο Φιλίππῳ, καὶ ἅμα Εὐβοίας, καὶ Θηβῶν, καὶ Βυζαντίου κύριος κατέστη, τί ποιεῖν ἂν ἢ τί λέγειν οἴεσθε τοὺς ἀσεβεῖς ἀνθρώπους τουτουσί; οὐχ ὡς ἐξεδόθησαν; οὐχ ὡς ἀπηλάθησαν, βουλόμενοι μεθ' ἡμῶν εἶναι; Εἶτα τοῦ μὲν Ἑλλησπόντου διὰ Βυζαντίων ἐγκρατὴς καθέστηκε, καὶ τῆς σιτοπομπίας τῆς τῶν Ἑλλήνων κύριος· πόλεμος δ' ὅμορος καὶ βαρὺς εἰς τὴν Ἀττικὴν διὰ Θηβαίων κεκόμισται· ἄπλους δ' ἡ θάλαττα ὑπὸ τῶν ἐκ τῆς Εὐβοίας ὁρμωμένων λῃστῶν γέγονεν. Οὐκ ἂν ταῦτ' ἔλεγον, καὶ πολλά γε πρὸς τούτοις ἕτερα; Πονηρόν, ὦ ἄνδρες Ἀθηναῖοι, πονηρὸν ὁ συκοφάντης ἀεί, καὶ πανταχόθεν βάσκανον καὶ φιλαίτιον. Τοῦτο δὲ καὶ φύσει κίναδος τἀνθρώπιόν ἐστιν, οὐδὲν ὑγιὲς ἐξ ἀρχῆς πεποιηκὸς οὐδ' ἐλεύθε-

discussions basses et minutieuses j'eusse obligé les républiques de nous abandonner et de s'attacher à Philippe, en sorte que ce prince se fût vu en même temps le maître de l'Eubée, de Thèbes et de Byzance, que pensez-vous qu'auraient fait et dit ces hommes ennemis des dieux? Ne m'auraient-ils pas accusé d'avoir rebuté, d'avoir livré à Philippe des peuples qui sollicitaient notre alliance? Philippe, auraient-ils dit, s'est soumis l'Hellespont par le moyen des Byzantins, et dispose du transport des blés dans toute la Grèce; par le moyen des Thébains, il a porté de nos frontières au sein de l'Attique une guerre cruelle; la mer est devenue impraticable par les incursions des pirates de l'Eubée. Voilà ce qu'ils auraient dit sans doute; et que n'auraient-ils pas dit encore? Quel fléau, Athéniens, quel fléau qu'un calomniateur! Il trouve toujours et partout de quoi assouvir sa haine et son envie. Tel est ce renard masqué, qui ne fit jamais

τί ἂν οἴεσθε[93],	quoi pensez-vous,
εἰ ἐμοῦ τότε	si moi alors
ἀκριβολογουμένου περὶ τούτων,	discutant-exactement sur ces choses
αἱ πόλεις ἀπῆλθον	les villes s'en-étaient-allées
καὶ προσέθεντο Φιλίππῳ,	et s'étaient-réunies à Philippe,
καὶ κατέστη κύριος	et *qu'*il se fût établi maître
ἅμα Εὐβοίας,	tout-ensemble de l'Eubée,
καὶ Θηβῶν, καὶ Βυζαντίου,	et de Thèbes, et de Byzance,
τί οἴεσθε	quoi pensez-vous
τουτουσὶ τοὺς ἀνθρώπους ἀσεβεῖς	ces hommes impies
ἂν ποιεῖν, ἢ τί λέγειν;	avoir-pu-faire, ou quoi avoir-pu-dire?
οὐχ ὡς ἐξεδόθησαν;	non qu'ils ont-été-trahis?
οὐχ ὡς ἀπηλάθησαν,	non qu'ils ont-été-repoussés,
βουλόμενοι εἶναι μετὰ ἡμῶν;	voulant être avec nous?
Εἶτα καθέστηκε μὲν	Ensuite il s'est établi
ἐγκρατὴς τοῦ Ἑλλησπόντου	dominateur de l'Hellespont
διὰ Βυζαντίων,	au-moyen des Byzantins,
καὶ κύριος	et maître
τῆς σιτοπομπίας	du transport-de-blé
τῆς τῶν Ἑλλήνων·	celui des Grecs;
πόλεμος δὲ ὅμορος καὶ βαρὺς	et une guerre de-voisins et pesante
κεκόμισται εἰς τὴν Ἀττικὴν	a-été-apportée dans l'Attique
διὰ Θηβαίων·	au-moyen des Thébains;
ἡ δὲ θάλαττα	et la mer
γέγονεν ἄπλους	est-devenue non-navigable
ὑπὸ τῶν λῃστῶν	par les pirates
ὁρμωμένων ἐκ τῆς Εὐβοίας.	s'élançant de l'Eubée.
Οὐκ ἂν ἔλεγον ταῦτα,	N'auraient-ils pas dit ces choses,
καὶ ἕτερα πολλά γε	et d'autres nombreuses certes
πρὸς τούτοις;	outre celles-ci?
Ὁ συκοφάντης ἀεί,	Le calomniateur *est* toujours,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
πονηρόν, πονηρόν,	une chose méchante, méchante,
καὶ πανταχόθεν	et de-tous-côtés
βάσκανον καὶ φιλαίτιον	envieuse et amie-des-reproches.
Τοῦτο δὲ τὸ ἀνθρώπιον	Mais cet homme-vil
ἐστὶ καὶ φύσει κίναδος,	est aussi *par* nature un renard,
πεποιηκὸς ἐξ ἀρχῆς	n'ayant-fait dès le principe
οὐδὲν ὑγιὲς	rien de sain
οὐδὲ ἐλεύθερον,	ni de digne-d'un-homme-libre,

ρον, αὐτοτραγικοπίθηκος, ἀρουραῖος Οἰνόμαος, παράσημος ῥήτωρ. Τί γὰρ ἡ σὴ δεινότης εἰς ὄνησιν ἥκει τῇ πατρίδι; νῦν ἡμῖν λέγεις ὑπὲρ τῶν παρεληλυθότων· ὥςπερ ἂν εἴ τις ἰατρός, ἀσθενοῦσι μὲν τοῖς κάμνουσιν εἰςιὼν μὴ λέγοι μηδὲ δεικνύοι δι' ὧν ἀποφεύξονται τὴν νόσον· ἐπειδὰν δὲ τελευτήσειέ τις αὐτῶν, καὶ τὰ νομιζόμενα αὐτῷ φέροιτο, ἀκολουθῶν ἐπὶ τὸ μνῆμα διεξίοι· « Εἰ τὸ καὶ τὸ ἐποίησεν ἄνθρωπος οὗτοσί, οὐκ ἂν ἀπέθανεν. » Ἐμβρόντητε, εἶτα νῦν λέγεις!

Οὐ τοίνυν οὐδὲ τὴν ἧτταν (εἰ ταύτῃ γαυριᾷς, ἐφ' ᾗ στένειν σε, ὦ κατάρατε, προςῆκεν) ἐν οὐδενὶ τῶν παρ' ἐμοῦ γεγονυῖαν εὑρήσετε τῇ πόλει. Οὕτωσὶ δὲ λογίζεσθε· οὐδαμοῦ πώποτε, ὅποι πρεσβευτὴς ἐξεπέμφθην ὑφ' ὑμῶν ἐγώ, ἡττηθεὶς ἀπῆλθον τῶν

de louable ni d'honnête, singe tragique, Œnomaüs de village, mauvais discoureur. En effet, Eschine, quel avantage retire la patrie de votre éloquence? Vous venez à présent nous donner des avis sur le passé; tel qu'un médecin qui, après n'avoir indiqué dans ses visites aucun remède propre à guérir ses malades, suivrait au tombeau l'un d'entre eux qui viendrait à mourir, et, accompagnant les funérailles, dirait: Si cet homme avait employé tel ou tel remède, il ne serait point mort. Et c'est aujourd'hui, orateur insensé, que vous donnez des avis!

Quant à notre défaite, dont vous triomphez, misérable, lorsque vous devriez en gémir, vous trouverez, Athéniens, que je n'y contribuai nullement. Un raisonnement simple le démontre. Dans aucune ambassade, je n'ai eu le dessous en présence des députés de Philippe,

αὐτοτραγικοπίθηκος,	singe-essentiellement-tragique.
Οἰνόμαος ἀρουραῖος,	OEnomaüs des-champs,
ῥήτωρ παράσημος.	orateur de-mauvais-aloi.
Τί γὰρ ἡ δεινότης σὴ	Car *en* quoi l'éloquence tienne
ἥκει εἰς ὄνησιν	vient-elle en utilité
τῇ πατρίδι;	à la patrie?
λέγεις νῦν ἡμῖν	tu parles maintenant à nous
ὑπὲρ τῶν παρεληλυθότων·	sur les choses étant-passées;
ὥςπερ ἂν εἴ τις ἰατρὸς	comme si quelque médecin
εἰςιὼν μὲν	allant visiter
μὴ λέγοι μηδὲ δεικνύοι	ne disait ni ne montrait
τοῖς κάμνουσιν	à ceux étant-malades
ἀσθενοῦσι	n'ayant-pas-de-force
διὰ ὧν	*les remèdes* par lesquels
ἀποφεύξονται τὴν νόσον·	ils échapperont à la maladie;
ἐπειδὰν δέ τις αὐτῶν	mais après que quelqu'un d'eux
ἐλευτήσειε,	aurait fini *de vivre*,
καὶ τὰ	et *que* les *devoirs*
νομιζόμενα	étant-regardés-comme-loi
φέροιτο αὐτῷ,	se rendraient à lui,
ἀκολουθῶν ἐπὶ τὸ μνῆμα,	suivant vers le monument,
διεξίοι·	énumérait:
« Εἰ οὗτοσὶ ὁ ἄνθρωπος	« Si cet homme
ἐποίησε τὸ καὶ τό,	avait fait ceci et cela,
οὐκ ἂν ἀπέθανεν. »	il ne serait pas mort. »
Εἶτα λέγεις νῦν,	Ensuite tu parles mainterant,
ἐμβρόντητε!	insensé!
Οὐ τοίνυν εὑρήσετε	Ainsi vous ne trouverez pas
οὐδὲ τὴν ἧτταν	non-plus la défaite
γεγονυῖαν τῇ πόλει	étant-arrivée à la ville
ἐν οὐδενὶ	dans aucune
τῶν παρὰ ἐμοῦ	des choses du côté de moi
(εἰ γαυριᾷς ταύτῃ,	(si tu t'enorgueillis de celle-ci,
ἐπὶ ᾗς, ὦ κατάρατε,	sur laquelle, ô exécrable,
προςῆκέ σε στένειν).	il convenait toi gémir).
Λογίζεσθε δὲ οὕτωσί·	Mais raisonnez ainsi:
οὐδαμοῦ πώποτε,	nulle-part jamais,
ὅποι ἐγὼ ἐξεπέμφθην ὑπὸ ὑμῶν	où j'ai-été-envoyé par vous
πρεσβευτής,	*comme* ambassadeur,
ἀπῆλθον ἡττηθεὶς	je *ne* m'en allai ayant-été-inférieur

παρὰ Φιλίππου πρέσβεων, οὐκ ἐκ Θετταλίας, οὐκ ἐξ Ἀμβρακίας, οὐκ ἐξ Ἰλλυριῶν, οὐ παρὰ τῶν Θρᾳκῶν βασιλέων, οὐκ ἐκ Βυζαντίου, οὐκ ἄλλοθεν οὐδαμόθεν, οὐ τὰ τελευταῖα ἐκ Θηβῶν· ἀλλ' ἐν οἷς κρατηθεῖεν οἱ πρέσβεις αὐτοῦ τῷ λόγῳ, ταῦτα τοῖς ὅπλοις ἐπιὼν κατεστρέφετο. Ταῦτ' οὖν ἀπαιτεῖς παρ' ἐμοῦ, καὶ οὐκ αἰσχύνῃ τὸν αὐτὸν εἴς τε μαλακίαν σκώπτων, καὶ τῆς τοῦ Φιλίππου δυνάμεως ἀξιῶν, ἕνα ὄντα, κρείττω γενέσθαι; καὶ ταῦτα τοῖς λόγοις· τίνος γὰρ ἄλλου κύριος ἦν ἐγώ; οὐ γὰρ τῆς γε ἑκάστου ψυχῆς, οὐδὲ τῆς τύχης τῶν παραταξαμένων, οὐδὲ τῆς στρατηγίας, ἧς ἐμὲ ἀπαιτεῖς εὐθύνας, οὕτω σκαιὸς εἶ. Ἀλλὰ μήν, ὧν γ' ἂν ὁ ῥήτωρ ὑπεύθυνος εἴη, πᾶσαν ἐξέτασιν λάμβανε· οὐ παραιτοῦμαι. Τίνα οὖν ἐστὶ ταῦτα; ἰδεῖν τὰ πράγματα ἀρχόμενα, καὶ προαισθέσθαι, καὶ προειπεῖν τοῖς ἄλλοις

de nulle part je ne suis sorti vaincu, ni de la Thessalie, ni d'Ambracie, ni de l'Illyrie, ni de la Thrace, ni de Byzance, ni enfin tout récemment de Thèbes; mais quand j'avais réussi à les vaincre par la force des raisons, Philippe venait tout détruire par la force des armes. Voilà pourquoi vous m'attaquez, et vous ne rougissez pas de vouloir qu'un homme que vous raillez pour sa faiblesse eût triomphé seul des armées de Philippe, et cela par des discours? Car de quelle autre chose étais-je le maître? je ne l'étais ni de la valeur ou de la fortune des combattants, ni des opérations du général, dont vous me demandez compte, tant la passion vous aveugle. Examinez, si vous voulez, avec rigueur toutes les choses dont pourrait répondre un orateur; j'y consens; et quelles sont-elles? Observer les affaires dans leur principe, en prévoir les suites et les annoncer au peuple : je l'ai

τῶν πρέσβεων παρὰ Φιλίππου,	aux députés de-la-part de Philippe,
οὐκ ἐκ Θετταλίας,	ni de Thessalie,
οὐκ ἐξ Ἀμβρακίας,	ni d'Ambracie,
οὐκ ἐξ Ἰλλυριῶν,	ni de-chez les Illyriens,
οὐ παρὰ τῶν βασιλέων Θρᾳκῶν[94],	ni de-chez les rois Thraces,
οὐκ ἐκ Βυζαντίου,	ni de Byzance,
οὐκ οὐδαμόθεν ἄλλοθεν,	ni de-nulle-part ailleurs,
οὐκ ἐκ Θηβῶν τὰ τελευταῖα·	ni de Thèbes enfin;
ἀλλὰ ἐπιών,	mais survenant,
κατεστρέφετο τοῖς ὅπλοις	il renversait *par* les armes
ταῦτα ἐν οἷς	ces choses dans lesquelles
οἱ πρέσβεις αὐτοῦ	les députés de lui
κρατηθεῖεν τῷ λόγῳ.	avaient-été-vaincus *par* la parole.
Ἀπαιτεῖς οὖν ταῦτα	Tu réclames donc ces choses
παρὰ ἐμοῦ,	de moi,
καὶ οὐκ αἰσχύνῃ	et tu n'as pas honte
σκώπτων τε τὸν αὐτὸν	et raillant le même
εἰς μαλακίαν,	pour *sa* faiblesse,
καὶ ἀξιῶν, ὄντα ἕνα,	et demandant *lui*, étant un-seul,
γενέσθαι κρείττω	avoir-été plus-fort
τῆς δυνάμεως Φιλίππου;	*que* la puissance de Philippe?
καὶ ταῦτα τοῖς λόγοις·	et cela *par* les discours;
τίνος γὰρ ἄλλου	car de quelle autre chose
ἐγὼ ἦν κύριος;	moi étais-je maître?
οὐ γάρ γε τῆς ψυχῆς ἑκάστου,	car non certes de l'âme de chacun,
οὐδὲ τῆς τύχης	ni de la fortune
τῶν παραταξαμένων,	de ceux s'étant-rangés-contre *l'ennemi*,
οὐδὲ τῆς στρατηγίας,	ni de la conduite-de-l'armée,
ἧς ἀπαιτεῖς ἐμὲ	de laquelle tu réclames à moi
εὐθύνας,	des comptes,
οὕτως εἶ σκαιός.	tellement tu es gauche.
Ἀλλὰ μήν,	Mais certes,
λάμβανε πᾶσαν ἐξέτασιν	prends un entier examen
ὧν γε ὁ ῥήτωρ	*des choses* dont du moins l'orateur
ἂν εἴη ὑπεύθυνος·	pourrait être comptable;
οὐ παραιτοῦμαι.	je ne réclame pas.
Τίνα ἐστὶν οὖν ταῦτα;	Quelles sont donc ces choses?
ἰδεῖν τὰ πράγματα ἀρχόμενα,	avoir-vu les affaires commençant,
καὶ προαισθέσθαι,	et *les* avoir-pressenties,
καὶ προειπεῖν τοῖς ἄλλοις·	et *les* avoir-prédites aux autres;

ταῦτα πέπρακταί μοι. Καὶ ἔτι τὰς ἑκασταχοῦ βραδυτῆτας, ὄκνους, ἀγνοίας, φιλονεικίας, ἃ πολιτικὰ ταῖς πόλεσι πρόςεστιν ἁπάσαις καὶ ἀναγκαῖα ἁμαρτήματα, ταῦθ' ὡς εἰς ἐλάχιστον συστεῖλαι, καὶ τοὐναντίον εἰς ὁμόνοιαν καὶ φιλίαν, καὶ τοῦ τὰ δέοντα ποιεῖν ὁρμὴν προτρέψαι· καὶ ταῦτά μοι πάντα πεποίηται, καὶ οὐδεὶς μήποθ' εὕρῃ τὸ κατ' ἐμὲ οὐδὲν ἐλλειφθέν. Εἰ τοίνυν τις ἔροιτο ὁντινοῦν, τίσι τὰ πλεῖστα Φίλιππος, ὧν κατέπραξε, διῳκήσατο, πάντες ἂν εἴποιεν· Τῷ στρατοπέδῳ, καὶ τῷ διδόναι, καὶ τῷ διαφθείρειν τοὺς ἐπὶ τῶν πραγμάτων. Οὐκοῦν τῶν μὲν δυνάμεων οὔτε κύριος οὔθ' ἡγεμὼν ἦν ἐγώ, ὥςτε οὐδ' ὁ λόγος τῶν κατὰ ταῦτα πραχθέντων πρὸς ἐμέ. Καὶ μήν, τῷ γε μὴ διαφθαρῆναι χρήμασι, κεκράτηκα Φιλίππου· ὥςπερ γὰρ ὁ ὠνούμενος

fait. De plus, corriger, autant qu'il est possible, les lenteurs, le hésitations, les imprudences, les contentions, vices inséparables des républiques, et comme inhérents à leur nature; porter au contraire les citoyens à l'union et à la concorde, et leur inspirer du zèle pour le service de l'État : je l'ai fait encore, et personne ne pourrait me reprocher d'avoir rien omis qui fût en ma puissance. Si donc on demande par quels moyens Philippe a exécuté le plus grand nombre de ses entreprises, chacun répondra que c'est par ses troupes, par ses largesses, et surtout en corrompant ceux qui étaient à la tête des affaires. Je n'étais ni le maître, ni le chef des armées; je ne suis donc pas responsable de leurs opérations. Mais j'ai vaincu Philippe, puisque je ne me suis point laissé gagner par son or. Car, si le traître qui se vend est vaincu par celui qui l'achète, celui qui résiste à la

ταῦτα πέπρακταί μοι	ces choses ont-été-faites *par* moi.
Καὶ ἔτι συστεῖλαι	Et encore avoir-resserré
ὡς εἰς ἐλάχιστον	comme en le-moins-possible
ταῦτα ἁμαρτήματα	ces fautes
πολιτικὰ καὶ ἀναγκαῖα,	propres-aux-états et nécessaires,
ἃ πρόςεστιν	qui sont-attachées
ἁπάσαις ταῖς πόλεσι,	à toutes les villes,
τὰς βραδυτῆτας ἑκασταχοῦ,	les lenteurs partout,
ὄκνους, ἀγνοίας,	les hésitations, les imprudences,
φιλονεικίας,	les disputes,
καὶ προτρέψαι τὸ ἐναντίον	et avoir-tourné au contraire
εἰς ὁμόνοιαν καὶ φιλίαν,	vers la concorde et l'amitié,
καὶ ὁρμὴν τοῦ ποιεῖν	et le désir de faire
τὰ δέοντα·	les choses étant-nécessaires ;
καὶ πάντα ταῦτα	et toutes ces choses
πεποίηταί μοι,	ont-été-faites *par* moi,
καὶ οὐδεὶς μήποτε εὕρῃ	et personne jamais *ne* trouverait
τὸ κατὰ ἐμὲ	la chose au-pouvoir-de moi
ἐλλειφθὲν οὐδέν.	ayant-été-omise *en* rien.
Εἰ τοίνυν τις	Si donc quelqu'un
ἔροιτο ὁντινοῦν,	interrogeait quiconque,
τίσι Φίλιππος	*par* quels *moyens* Philippe
διῳκήσατο τὰ πλεῖστα	a dirigé les plus nombreuses
ὧν κατέπραξε,	*des choses* qu'il a terminées,
πάντες ἂν εἴποιεν·	tous diraient :
Τῷ στρατοπέδῳ, καὶ τῷ διδόναι,	*Par* l'armée, et le donner,
καὶ τῷ διαφθείρειν	et le corrompre
τοὺς ἐπὶ τῶν πραγμάτων.	ceux à-la-tête des affaires.
Οὐκοῦν ἐγὼ ἦν	Donc moi je *n'*étais
οὔτε κύριος οὔτε ἡγεμὼν	ni maître ni chef
τῶν δυνάμεων,	des forces,
ὥςτε ὁ λόγος	en-sorte-que le compte
τῶν πραχθέντων	des choses ayant-été-faites
κατὰ ταῦτα	selon ces *moyens*
οὐδὲ πρὸς ἐμέ.	n'*est* pas concernant moi.
Καὶ μὴν κεκράτηκα Φιλίππου,	Et cependant j'ai vaincu Philippe,
τῷ γε μὴ	du moins *par* le ne pas
διαφθαρῆναι	avoir-été-corrompu
χρήμασιν·	*par* des sommes-d'argent ;
ὥςπερ γὰρ ὁ ὠνούμενος	car comme celui achetant

νενίκηκε τὸν λαβόντα, ἐὰν πρίηται, οὕτως ὁ μὴ λαβὼν μηδὲ διαφθαρεὶς νενίκηκε τὸν ὠνούμενον· ὥςτε ἀήττητος ἡ πόλις τὸ κατ' ἐμέ.

Ἃ μὲν τοίνυν ἐγὼ παρεσχόμην εἰς τὸ δικαίως τοιαῦτα γράφειν τουτονὶ περὶ ἐμοῦ, πρὸς πολλοῖς ἑτέροις, ταῦτα καὶ παραπλήσια τούτοις ἐστίν. Ἃ δὲ πάντες ὑμεῖς ἴστε, ταῦτ' ἤδη λέξω.

Μετὰ γὰρ τὴν μάχην εὐθὺς ὁ δῆμος, εἰδὼς καὶ ἑωρακὼς πάντα ὅσα ἔπραττον ἐγώ, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς, ἡνίκ' οὐδὲ ἀγνωμονῆσαί τι θαυμαστὸν ἦν τοὺς πολλοὺς πρὸς ἐμέ, πρῶτον μέν, περὶ σωτηρίας τῆς πόλεως, τὰς ἐμὰς γνώμας ἐχειροτόνει· καὶ πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο, ἡ διάταξις τῶν φυλακῶν, αἱ τάφροι, τὰ εἰς τὰ τείχη χρήματα, διὰ τῶν ἐμῶν ψηφισμάτων ἐγίγνετο. Ἔπειθ' αἱρούμενος σιτώνην, ἐκ πάντων ἐμὲ ἐχειροτόνησεν ὁ δῆμος. Καὶ

corruption est vainqueur de celui qui cherche à le corrompre. Ainsi, pour ma part, Athènes fut invincible.

Voilà les motifs, sans parler de mille autres, qui ont autorisé et qui justifient le décret de Ctésiphon. Ce que je vais dire à présent est connu de tout le monde.

Aussitôt après le combat, dans ce moment d'alarme et d'effroi, où il n'eût pas été étonnant que la multitude se portât à quelques excès contre moi, le peuple instruit et témoin de tout ce que j'avais fait, adopta mes conseils pour le salut de le république. Tout ce qui avait rapport à la défense de la ville, distribution des sentinelles, réparation des fossés, contribution pour rétablir les murs, tout se faisait par mes décrets. On avait besoin d'un intendant des vivres, je fus choisi préférablement à tout autre. Ensuite ces hommes, attentifs à me

νενίκηκε τὸν λαβόντα,	a vaincu celui ayant-reçu,
ἐὰν πρίηται,	s'il achète,
οὕτως ὁ μὴ λαβὼν	ainsi celui n'ayant pas reçu
μηδὲ διαφθαρεὶς	et n'ayant pas été-corrompu
νενίκηκε τὸν ὠνούμενον·	a vaincu celui achetant,
ὥςτε ἡ πόλις ἀήττητος	en-sorte-que la ville *fut* invaincue
τὸ κατὰ ἐμέ.	*dans* la chose au-pouvoir-de moi
Ταῦτα μὲν τοίνυν,	Ces choses donc,
καὶ παραπλήσια τούτοις,	et de semblables à celles-ci,
ἔστι, πρὸς ἑτέροις πολλοῖς,	sont, outre d'autres nombreuses
ἃ ἐγὼ παρεσχόμην	*celles* que moi j'ai fournies
εἰς τὸ τουτονὶ	pour le celui-ci
γράφειν δικαίως	écrire justement
τοιαῦτα περὶ ἐμοῦ.	des choses telles sur moi.
Λέξω δὲ ἤδη	Mais je dirai déjà
ταῦτα, ἃ ὑμεῖς πάντες ἴστε.	celles que vous tous savez.
Μετὰ γὰρ τὴν μάχην	Car après le combat
εὐθὺς ὁ δῆμος,	aussitôt le peuple,
εἰδὼς καὶ ἑωρακὼς	sachant et ayant-vu
πάντα ὅσα ἐγὼ ἔπραττον,	toutes les choses que moi je faisais,
ἐμβεβηκὼς	étant-entré
ἐν τοῖς δεινοῖς	dans les choses terribles
καὶ φοβεροῖς αὐτοῖς,	et redoutables elles-mêmes,
ἡνίκα οὐδὲ ἦν θαυμαστὸν	quand il n'était pas étonnant
τοὺς πολλοὺς	les nombreux
ἀγνωμονῆσαί τι	pécher *en* quelque chose
πρὸς ἐμέ,	envers moi,
ἐχειροτόνει	approuva-par-suffrage
τὰς γνώμας ἐμὰς	les avis miens
περὶ σωτηρίας τῆς πόλεως·	touchant le salut de la ville;
καὶ πάντα ὅσα ἐπράττετο	et toutes les choses qui furent-faites
ἕνεκα τῆς φυλακῆς,	pour la garde,
ἡ διάταξις τῶν φυλακῶν,	la disposition des gardes,
αἱ τάφροι, τὰ χρήματα	les fossés, les sommes-d'argent
εἰς τὰ τείχη,	pour les murailles,
ἐγίγνετο	eurent lieu
διὰ τῶν ψηφισμάτων ἐμῶν.	par les décrets miens.
Ἔπειτα ὁ δῆμος,	Ensuite le peuple,
αἱρούμενος σιτώνην [95],	choisissant un intendant-de-vivres,
ἐχειροτόνησεν ἐμὲ ἐκ πάντων	élut moi d'entre tous.

μετὰ ταῦτα συστάντων, οἷς ἦν ἐπιμελὲς κακῶς ἐμὲ ποιεῖν, καὶ γραφάς, εὐθύνας, εἰςαγγελίας, πάντα ταῦτα ἐπαγόντων μοι, οὐ δι' ἑαυτῶν τό γε πρῶτον, ἀλλὰ δι' ὧν μάλιστα ὑπελάμβανον ἀγνοηθήσεσθαι (ἴστε γὰρ δήπου καὶ μέμνησθε ὅτι τοὺς πρώτους χρόνους κατὰ τὴν ἡμέραν ἑκάστην ἐκρινόμην ἐγώ, καὶ οὔτ' ἀπόνοια Σωσικλέους, οὔτε συκοφαντία Φιλοκράτους, οὔτε Διώνδου καὶ Μελάντου μανία, οὔτ' ἄλλ' οὐδὲν ἀπείρατον ἦν τούτοις κατ' ἐμοῦ)· ἐν τοίνυν τούτοις πᾶσι, μάλιστα μὲν διὰ τοὺς θεούς, δεύτερον δὲ δι' ὑμᾶς καὶ τοὺς ἄλλους ἅπαντας Ἀθηναίους, ἐσωζόμην· δικαίως· τοῦτο γὰρ καὶ ἀληθές ἐστι, καὶ ὑπὲρ τῶν ὀμωμοκότων καὶ γνόντων τὰ εὔορκα δικαστῶν. Οὐκοῦν, ἐν μὲν οἷς εἰςηγγελλόμην, ὅτε ἀπεψηφίζεσθέ μου, καὶ τὸ μέρος τῶν

nuire, s'étant ligués pour me perdre, me traduisirent devant les tribunaux comme ayant enfreint les lois, comme ayant malversé dans l'administration des affaires et des deniers de l'État. Ils le firent d'abord, non par eux-mêmes, mais par des agents coupables, sous le nom desquels ils espéraient cacher leurs desseins. Dans les premiers temps, vous le savez Athéniens, et vous ne l'avez pas oublié, on m'accusait presque tous les jours; la folie de Sosiclès, la noirceur de Philocrate, la fureur de Diondas et de Mélane, furent mises en œuvre; rien n'était épargné. Si, dans toutes ces occasions, mes ennemis n'eurent jamais l'avantage, après les dieux, c'est à vous et aux autres citoyens que je le dois. Cette justice m'était due, et je l'attendais de juges équitables qui voulaient être fidèles à leur serment. Ainsi, dans les causes pour crimes d'État, me déclarer innocent, sans accorder la cinquième partie des suffrages à

Καὶ μετὰ ταῦτα,	Et après ces choses,
οἷς ἦν ἐπιμελὲς	*ceux* à qui il était digne-de soin
ποιεῖν κακῶς ἐμὲ	de traiter mal moi
συστάντων,	se-tenant-ensemble,
καὶ ἐπαγόντων μοι	et amenant-sur moi
γραφάς, εὐθύνας,	des accusations, des comptes,
εἰςαγγελίας,	des dénonciations,
πάντα ταῦτα,	toutes ces choses,
οὐ δια ἑαυτῶν τὸ πρῶτόν γε,	non par eux-mêmes d'abord du moins
ἀλλὰ διὰ ὧν	mais *par ceux* au-moyen desquels
ὑπελάμβανον	ils présumaient
ἀγνοηθήσεσθαι μάλιστα	devoir-être-ignorés le-plus
(ἴστε γὰρ δήπου	(car vous savez certes
καὶ μέμνησθε ὅτι	et vous-vous-rappelez que
τοὺς πρώτους χρόνους	*pendant* les premiers temps
ἐγὼ ἐκρινόμην	moi j'étais-mis-en-jugement
κατὰ ἑκάστην τὴν ἡμέραν,	par chaque jour,
καὶ οὔτε ἀπόνοια Σωσικλέους,	et ni la démence de Sosiclès,
οὔτε συκοφαντία Φιλοκράτους,	ni la calomnie de Philocrate,
οὔτε μανία	ni la fureur
Διώνδου καὶ Μελάντου,	de Diondas et Mélante,
οὔτε οὐδὲν ἄλλο	ni aucune autre chose
ἦν ἀπείρατον	*ne* fut non-essayée
τούτοις κατὰ ἐμοῦ)·	*par* ceux-ci contre moi);
ἐν τοίνυν πᾶσι τούτοις	or dans toutes ces *occasions*
ἐσωζόμην	je fus-sauvé
μάλιστα μὲν διὰ τοὺς θεούς,	surtout par les dieux,
δεύτερον δὲ διὰ ὑμᾶς	et secondement par vous
καὶ ἅπαντας τοὺς ἄλλους	et tous les autres
Ἀθηναίους· δικαίως·	Athéniens; justement;
τοῦτο γὰρ καί ἐστιν ἀληθές,	car ceci aussi est vrai,
καὶ ὑπὲρ τῶν δικαστῶν	et pour les juges
ὀμωμοκότων	ayant-juré
καὶ γνόντων	et ayant-décidé
τὰ εὔορκα.	les choses d'accord-avec-le-serment.
Οὐκοῦν,	Donc,
ἐν μὲν οἷς	*dans les occasions* dans lesquelles
εἰςηγγελλόμην,	j'étais-dénoncé,
ὅτε ἀπεψηφίζεσθε	quand vous-renvoyiez-par-suffrage
μοῦ,	moi,

ψήφων τοῖς διώκουσιν οὐ μετεδίδοτε, τότ' ἐψηφίζεσθε τὰ ἄριστα με πράττειν· ἐν οἷς δὲ τὰς γραφὰς ἀπέφευγον, ἔννομα καὶ γράφειν καὶ λέγειν ἀπεδεικνύμην· ἐν οἷς δὲ τὰς εὐθύνας ἐπεσημαίνεσθε, δικαίως καὶ ἀδωροδοκήτως πάντα μοι πεπρᾶχθαι προςωμολογεῖτε. Τούτων οὖν οὕτως ἐχόντων, τί προςῆκεν ἢ τί δίκαιον ἦν τοῖς ὑπ' ἐμοῦ πεπραγμένοις θέσθαι τὸν Κτησιφῶντα ὄνομα; οὐχ ὃ τὸν δῆμον ἑώρα τιθέμενον; οὐχ ὃ τοὺς ὀμωμοκότας δικαστάς; οὐχ ὃ τὴν ἀλήθειαν παρὰ πᾶσι βεβαιοῦσαν;

Ναί, φησίν· ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν, τὸ μηδεμίαν γραφὴν φυγεῖν. Καὶ νὴ Δί', εὐδαιμόν γε· ἀλλὰ τί μᾶλλον ὁ πολλάκις μὲν φυγών, μηδεπώποτε δ' ἐξελεγχθεὶς ἀδικῶν, ἐν ἐγκλήματι γίγνοιτ' ἂν διὰ τοῦτο δικαίως; Καίτοι πρός γε τοῦτον,

mes accusateurs, c'était déclarer mon administration irreprochable; me renvoyer absous d'une accusation concernant les lois, c'était me rendre le témoignage que je ne disais et ne proposais rien que de conforme aux lois; approuver mes comptes, c'était reconnaître mon intégrité incorruptible dans le maniement de vos finances. Après cela, en quels termes l'auteur du décret devait-il s'expliquer sur ma conduite? Pouvait-il parler autrement que le peuple, autrement que des juges engagés par un serment, autrement que la vérité même qui s'exprimait par la voix publique?

Je le veux, dit Eschine; mais il est glorieux de n'avoir jamais été accusé, ainsi que Céphale; oui, sans doute, du moins cela est heureux : est-ce une raison, cependant, pour blâmer un citoyen souvent accusé, et jamais convaincu? Mais, du moins vis-à-vis de lui, je puis m'attri-

καὶ οὐ μετεδίδοτε	et ne donniez pas
τοῖς διώκουσι	à ceux poursuivant
τὸ μέρος τῶν ψήφων,	la part des suffrages,
τότε ἐψηφίζεσθε	alors vous votiez
μὲ πράττειν τὰ ἄριστα.	moi faire les meilleures choses.
Ἐν οἷς δὲ	Et *dans celles* dans lesquelles
ἀπέφευγον τὰς γραφάς,	j'échappais aux accusations,
ἀπεδεικνύμην	j'étais-démontré
καὶ γράφειν καὶ λέγειν	et écrire et dire
ἔννομα·	*des choses* conformes-aux-lois;
ἐν οἷς δὲ	et *dans celles* dans lesquelles
ἐπεσημαίνεσθε τὰς εὐθύνας,	vous approuviez les comptes,
προςωμολογεῖτε	vous reconnaissiez
πάντα πεπρᾶχθαί μοι	toutes choses avoir-été-faites *par* moi
δικαίως	justement
καὶ ἀδωροδοκήτως.	et sans-réception-de-présents.
Τούτων οὖν ἐχόντων οὕτω,	Ces choses donc se trouvant ainsi,
τί ὄνομα προςῆκεν	quel nom convenait-il
ἢ τί ἦν δίκαιον	ou quel était-il juste
τὸν Κτησιφῶντα θέσθαι	Ctésiphon avoir-imposé
τοῖς πεπραγμένοις ὑπὸ ἐμοῦ;	aux *actions* ayant-été-faites *par* moi?
οὐχ ὃ ἑώρα	non *celui* qu'il voyait
τὸν δῆμον τιθέμενον;	le peuple imposant?
οὐχ ὃ	non *celui* qu'*il voyait*
τοὺς δικαστὰς ὀμωμοκότας;	les juges ayant-juré?
οὐχ ὃ	non *celui* qu'*il voyait*
τὴν ἀλήθειαν βεβαιοῦσαν	la vérité confirmant
παρὰ πᾶσι;	chez tous?
Ναί, φησίν·	Oui, dit-il;
ἀλλὰ τὸ τοῦ Κεφάλου καλόν,	mais le *titre* de Céphale *est* beau,
τὸ φυγεῖν μηδεμιαν γραφήν.	le *n'*avoir fui aucune accusation.
Καὶ νὴ Δία,	Et par Jupiter
εὐδαιμόν γε·	*il est* heureux du-moins;
ἀλλὰ τί	mais pourquoi
ὁ μὲν φυγὼν πολλάκις,	celui ayant-fui souvent,
ξελεγχθεὶς δὲ μηδεπώποτε	mais *n'*ayant-été-convaincu jamais
ἀδικῶν,	faisant-injustice,
γίγνοιτο ἂν μᾶλλον ἐν ἐγκλήματι	serait-il plutôt dans le blâme
διὰ τοῦτο δικαίως;	à-cause de cela justement?
Καίτοι πρὸς τοῦτόν γε,	Certes envers celui-ci du moins,

ἄνδρες Ἀθηναῖοι, καὶ τὸ τοῦ Κεφάλου καλὸν εἰπεῖν ἔστι μοι· οὐδεμίαν γὰρ πώποτ' ἐγράψατό με, οὐδ' ἐδίωξε γραφήν· ὥςτε ὑπὸ σοῦ γε ὡμολόγημαι μηδὲν εἶναι τοῦ Κεφάλου χείρων πολίτης.

Πολλαχόθεν μὲν τοίνυν ἄν τις ἴδοι τὴν ἀγνωμοσύνην αὐτοῦ καὶ τὴν βασκανίαν, οὐχ ἥκιστα δ' ἀφ' ὧν περὶ τῆς τύχης διελέχθη. Ἐγὼ δ' ὅλως μὲν ὅςτις, ἄνθρωπος ὤν, ἀνθρώπῳ τύχην προφέρει, παντελῶς ἀνόητον ἡγοῦμαι καὶ ἀπαίδευτον. Ἦν γὰρ ὁ τὰ βέλτιστα πράττειν νομίζων, καὶ ἀρίστην ἔχειν οἰόμενος, οὐκ οἶδεν εἰ μενεῖ τοιαύτη μέχρι καὶ τῆς ἑσπέρας, πῶς χρὴ περὶ ταύτης λέγειν, ἢ πῶς ὀνειδίζειν ἑτέρῳ; Ἐπειδὴ δ' οὗτος, πρὸς πολλοῖς ἄλλοις, καὶ περὶ τούτων ὑπερηφάνως κέχρηται τῷ λόγῳ, σκέψασθε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ θεωρήσατε ὅσῳ καὶ ἀλη-

buer le même bonheur que Céphale, puisqu'il n'a ni commencé, ni poursuivi contre moi aucune accusation, et que par-là il a reconnu lui-même que je ne le cède en rien à Céphale.

La malignité et la basse jalousie éclatent dans tout son discours, mais surtout dans ses déclamations sur la fortune. Pour moi, je regarde en général comme privé de sens et d'éducation celui qui, étant homme, reproche à un autre homme la rigueur de la fortune : si le mortel qui se croit le plus fortuné ignore s'il le sera jusqu'au soir, peut-on vanter son propre bonheur, et reprocher à un autre les rigueurs du sort? Puisqu'Eschine, sur ce point comme sur beaucoup d'autres, s'est exprimé avec la dernière arrogance, qu'on voie et qu'on juge avec combien plus de raison et

ἄνδρες Ἀθηναῖοι,	hommes Athéniens,
ἔστι καί μοι	il est aussi à moi
εἰπεῖν τὸ καλὸν τοῦ Κεφάλου·	de dire le beau *titre* de Céphale ;
ἐγράψατο γάρ με	car il *n'a jamais* accusé moi
οὐδὲ ἐδίωξε πώποτε	et n'a poursuivi jamais-encore
οὐδεμίαν γραφήν·	aucune accusation ;
ὥςτε ὡμολόγημαι	en-sorte-que j'ai-été-reconnu
ὑπὸ σοῦ γε	par toi certes
εἶναι πολίτης	être un citoyen
μηδὲν χείρων τοῦ Κεφάλου.	*en* rien pire *que* Céphale.
Τὶς μὲν τοίνυν ἄν ἴδοι	Quelqu'un donc verrait
τὴν ἀγνωμοσύνην	la déloyauté
καὶ τὴν βασκανίαν αὐτοῦ	et l'envie de lui
πολλαχόθεν,	de-toutes-parts,
οὐχ ἥκιστα δὲ	mais non le-moins
ἀπὸ ὧν διελέχθη	d'après *les choses* qu'il a dites
περὶ τῆς τύχης.	sur la fortune.
Ἐγὼ δὲ ὅλως μὲν	Mais moi en-général
ἡγοῦμαι παντελῶς ἀνόητον	je pense tout-à-fait insensé
καὶ ἀπαίδευτον,	et sans-éducation,
ὅςτις, ὢν ἄνθρωπος,	quiconque, étant homme,
προφέρει ἀνθρώπῳ τύχην.	reproche à un homme *sa* fortune.
Πῶς γὰρ χρὴ λέγειν	Car comment faut-il parler
περὶ ταύτης,	sur celle-ci
ἢ πῶς ὀνειδίζειν	ou comment reprocher
ἑτέρῳ,	à un autre *elle*,
ἣν ὁ νομίζων	que celui pensant
πράττειν τὰ βέλτιστα	faire les meilleures choses
καὶ οἰόμενος ἔχειν ἀρίστην	et croyant avoir la meilleure
οὐκ οἶδεν,	ne sait pas,
εἰ μενεῖ τοιαύτη	si elle restera telle
μέχρι καὶ τῆς ἑσπέρας ;	jusqu'à même le soir ?
Ἐπειδὴ δὲ οὗτος,	Mais puisque celui-ci,
πρὸς ἄλλοις πολλοῖς,	outre d'autres choses nombreuses,
κέχρηται ὑπερηφάνως τῷ λόγῳ	a usé arrogamment de la parole
καὶ περὶ τούτων,	aussi sur celles-là,
σκέψασθε,	examinez,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
καὶ θεωρήσατε	et considérez
ὅσῳ καὶ ἀληθέστερον	combien et plus-véritablement

θέστερον καὶ ἀνθρωπινώτερον ἐγὼ περὶ τῆς τύχης τούτου διαλεχθήσομαι. Ἐγὼ τὴν μὲν τῆς πόλεως τύχην ἀγαθὴν ἡγοῦμαι, καὶ τοῦθ' ὁρῶ καὶ τὸν Δία τὸν Δωδωναῖον ὑμῖν, καὶ τὸν Ἀπόλλω τὸν Πύθιον μαντευόμενον· τὴν μέντοι τῶν πάντων ἀνθρώπων, ἣ νῦν ἐπέχει, χαλεπὴν καὶ δεινήν. Τίς γὰρ Ἑλλήνων, ἢ τίς βαρβάρων, οὐ πολλῶν κακῶν καὶ μεγάλων ἐν τῷ παρόντι πεπείραται; Τὸ μὲν τοίνυν προελέσθαι τὰ κάλλιστα, καὶ τὸ τῶν οἰηθέντων Ἑλλήνων, εἰ πρόοιντο ἡμᾶς, ἐν εὐδαιμονίᾳ διάξειν, τούτων αὐτῶν ἄμεινον πράττειν, τῆς ἀγαθῆς τύχης τῆς πόλεως εἶναι τίθημι· τὸ δὲ προςχροῦσαι, καὶ μὴ πάνθ', ὡς ἠβουλόμεθ', ἡμῖν συμβῆναι, τῆς τῶν ἄλλων ἀνθρώπων τύχης τὸ ἐπιβάλλον ἐφ' ἡμᾶς μέρος μετειληφέναι νομίζω τὴν πόλιν. Τὴν δὲ ἰδίαν τύχην τὴν ἐμήν, καὶ τὴν ἑνὸς ἡμῶν ἑκάστου, ἐν τοῖς ἰδίοις ἐξε-

d'humanité je parlerai de la fortune. Pour moi, j'estime heureuse la destinée de la république; Jupiter et Apollon nous l'ont assuré par leurs oracles; je regarde, au contraire, comme triste et fâcheux le destin qui pèse maintenant sur tous les hommes. En effet, qui des Grecs ou des barbares n'a pas éprouvé une infinité de maux dans les circonstances présentes? Mais si nous avons pris le parti le plus honorable, si nous sommes moins malheureux que les autres Grecs, qui pensaient trouver leur avantage à se séparer de nous, je l'attribue à la fortune de la république : si nous avons échoué dans quelqu'une de nos entreprises, si nous n'avons pas toujours réussi selon nos désirs, c'est le sort de tous les hommes, et la part qui nous revenait dans le malheur commun. Pour ce qui est de ma fortune ou de celle de tout autre, il

καὶ ἀνθρωπινώτερον τούτου	et plus-humainement *que* lui
ἐγὼ διαλεχθήσομαι	moi je discourrai
περὶ τῆς τύχης.	sur la fortune.
Ἐγὼ ἡγοῦμαι τὴν μὲν τύχην	Moi je pense la fortune
τῆς πόλεως ἀγαθήν,	de la ville *être* bonne,
καὶ ὁρῶ καὶ τὸν Δία	et je vois et Jupiter
τὸν Δωδωναῖον,	le Dodonéen,
καὶ τὸν Ἀπόλλω τὸν Πύθιον	et Apollon le Pythien
μαντευόμενον τοῦτο ὑμῖν·	prédisant ceci à vous;
τὴν μέντοι	cependant celle
πάντων τῶν ἀνθρώπων,	de tous les hommes,
ἣ ἐπέχει νῦν,	qui domine maintenant,
χαλεπὴν καὶ δεινήν.	fâcheuse et difficile.
Τίς γὰρ Ἑλλήνων	Car qui des Grecs
ἢ τίς βαρβάρων	ou qui des barbares
οὐ πεπείραται	n'a pas éprouvé
ἐν τῷ παρόντι	dans le *temps* présent
κακῶν πολλῶν καὶ μεγάλων;	des maux nombreux et grands?
Τίθημι τοίνυν	J'établis donc
τὸ μὲν προελέσθαι	le avoir-préféré
τὰ κάλλιστα,	les plus belles choses,
καὶ τὸ πράττειν ἄμεινον	et le faire mieux
τούτων τῶν Ἑλλήνων αὐτῶν,	*que* ces Grecs eux-mêmes,
οἰηθέντων διάξειν	ayant-cru devoir-vivre
ἐν εὐδαιμονίᾳ,	dans le bonheur,
εἰ πρόοιντο ἡμᾶς [96],	s'ils abandonneraient nous,
εἶναι τῆς ἀγαθῆς τύχης	être de la bonne fortune
τῆς πόλεως·	de la ville;
νομίζω δὲ τὴν πόλιν	mais je pense la ville
μετειληφέναι τὸ μέρος	avoir-reçu la part
ἐπιβάλλον ἐπὶ ἡμᾶς	retombant sur nous
τῆς τύχης τῶν ἄλλων ἀνθρώπων,	de la fortune des autres hommes,
τὸ προςχροῦσαι,	le avoir-échoué,
καὶ πάντα	et toutes choses
ἢ συμβῆναι ἡμῖν,	ne pas être-arrivées à nous,
ὡς ἠβουλόμεθα.	comme nous voulions.
Νομίζω δὲ εἶναι δίκαιον	Mais je crois être juste
ἐξετάζειν	d'examiner
ἐν τοῖς ἰδίοις	dans les choses particulières
τὴν τύχην ἰδίαν τὴν ἐμήν,	la fortune particulière la mienne,

τάζειν δίκαιον εἶναι νομίζω. Ἐγὼ μὲν οὖν οὕτωσὶ περὶ τῆς τύχης ἀξιῶ, ὀρθῶς καὶ δικαίως, ὡς ἐμαυτῷ δοκῶ· νομίζω δὲ καὶ ὑμῖν. Ὁ δὲ τὴν ἰδίαν τύχην τὴν ἐμὴν τῆς κοινῆς τῆς πόλεως κυριωτέραν εἶναί φησι, τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης. Καὶ πῶς ἔνι τοῦτο γενέσθαι;

Καὶ μήν, εἴ γε τὴν ἐμὴν τύχην πάντως ἐξετάζειν, Αἰσχίνη, προαιρεῖ, πρὸς τὴν σαυτοῦ σκόπει· κἂν εὕρῃς τὴν ἐμὴν βελτίω τῆς σῆς, παῦσαι λοιδορούμενος αὐτῇ. Σκόπει τοίνυν εὐθὺς ἐξ ἀρχῆς.

Καί μου, πρὸς Διὸς καὶ θεῶν, μηδεμίαν ψυχροτητα καταγνῷ μηδείς. Ἐγὼ γὰρ οὔτ', εἴ τις πενίαν προπηλακίζει, νοῦν ἔχειν ἡγοῦμαι, οὔτ' εἴ τις, ἐν ἀφθόνοις τραφείς, ἐπὶ τούτῳ σεμνύνεται. Ἀλλ' ὑπὸ τῆς τουτουὶ τοῦ χαλεποῦ βλασφημίας καὶ συκοφαντίας εἰς τοιούτους λόγους ἐμπίπτειν ἀναγκάζομαι,

me semble qu'on doit en juger par ce qui nous est personnel. C'est ainsi, Athéniens, qu'il faut raisonner, et je crois que vous le pensez de même. Eschine au contraire prétend que la destinée d'un particulier commande à la destinée de la république, c'est-à-dire, une destinée faible et obscure à une haute et glorieuse destinée. Eh quoi! cela se peut-il?

Si vous voulez absolument, Eschine, examiner ma fortune, mettez-la en parallèle avec la vôtre, et si vous trouvez la vôtre fort inférieure, ne décriez plus la mienne. Remontez donc jusqu'à l'origine.

Au nom de Jupiter et des autres dieux, qu'on ne m'accuse pas de folie. C'est manquer de sens, je l'avoue, que de reprocher à un autre sa pauvreté, et de se glorifier d'avoir été nourri dans l'abondance. Si, forcé par les invectives et les calomnies de ce méchant, je me jette dans de pareils détails, j'useraï du moins dans mes discours de toute

καὶ τὴν ἑνὸς ἑκάστου ἡμῶν.	et celle d'un chacun de nous.
Ἐγὼ μὲν οὖν	Moi donc
ἀξιῶ οὕτωσὶ	je juge-convenable ainsi
περὶ τῆς τύχης,	sur la fortune,
ὀρθῶς καὶ δικαίως,	avec droiture et justement,
ὡς δοκῶ ἐμαυτῷ·	comme je parais à moi-même;
νομίζω δὲ καὶ ὑμῖν.	et je crois aussi à vous.
Ὁ δέ φησι	Mais celui-ci dit
τὴν τύχην ἰδίαν τὴν ἐμὴν	la fortune particulière la mienne
εἶναι κυριωτέραν	être plus-maîtresse
τῆς κοινῆς τῆς πόλεως,	*que* la *fortune* commune de la ville,
τὴν μικρὰν καὶ φαύλην	la petite et chétive
τῆς ἀγαθῆς καὶ μεγάλης.	*plus que* la bonne et grande.
Καὶ πῶς ἔνι	Et comment est-il possible
τοῦτο γενέσθαι;	cela avoir-été?
Καὶ μὴν	Et cependant
εἴ γε προαιρεῖ πάντως,	si certes tu préfères totalement,
Αἰσχίνη,	Eschine,
ἐξετάζειν τὴν τύχην ἐμήν,	examiner la fortune mienne,
σκόπει πρὸς τὴν σαυτοῦ·	regarde vers celle de toi-même;
καὶ ἂν εὕρῃς τὴν ἐμὴν	et si tu trouves la mienne
βελτίω τῆς σῆς,	meilleure *que* la tienne,
παῦσαι λοιδορούμενος αὐτῇ.	cesse invectivant *contre* elle.
Σκόπει τοίνυν	Regarde donc
εὐθὺς ἐξ ἀρχῆς.	aussitôt dès le principe.
Καὶ μηδείς,	Et que personne,
πρὸς Διὸς καὶ θεῶν,	au-nom de Jupiter et des dieux,
καταγνῷ μου	*ne* reproche à moi
μηδεμίαν ψυχρότητα.	aucune folie.
Ἐγὼ γὰρ οὔτε ἡγοῦμαι	Car moi ni je ne pense
ἔχειν νοῦν,	avoir du sens,
εἴ τις προπηλακίζει πενίαν,	si quelqu'un outrage la pauvreté,
οὔτε εἴ τις, τραφεὶς	ni si quelqu'un, ayant-été-nourri
ἐν ἀφθόνοις,	dans des choses abondantes,
σεμνύνεται ἐπὶ τούτῳ.	se glorifie sur cela.
Ἀλλὰ ἀναγκάζομαι	Mais je suis-forcé
ὑπὸ τῆς βλασφημίας	par l'invective
καὶ συκοφαντίας	et la calomnie
τουτουὶ τοῦ χαλεποῦ	de celui-ci le méchant
ἐμπίπτειν εἰς λόγους τοιούτους,	de tomber dans des discours tels,

οἷς, ἐκ τῶν ἐνόντων, ὡς ἂν δύνωμαι μετριώτατα χρήσομαι.

Ἐμοὶ μὲν τοίνυν ὑπῆρξεν, Αἰσχίνη, παιδὶ μὲν ὄντι, φοιτᾷν εἰς τὰ προσήκοντα διδασκαλεῖα, καὶ ἔχειν ὅσα χρὴ τὸν μηδὲν αἰσχρὸν ποιήσοντα δι' ἔνδειαν· ἐξελθόντι δὲ ἐκ παίδων, τἀκόλουθα τούτοις πράττειν, χορηγεῖν, τριηραρχεῖν, εἰσφέρειν, μηδεμιᾶς φιλοτιμίας, μήτε ἰδίας μήτε δημοσίας, ἀπολείπεσθαι, ἀλλὰ καὶ τῇ πόλει καὶ τοῖς φίλοις χρήσιμον εἶναι· ἐπειδὴ δὲ πρὸς τὰ κοινὰ προσελθεῖν ἔδοξέ μοι, τοιαῦτα πολιτεύματα ἑλέσθαι ὥστε καὶ ὑπὸ τῆς πατρίδος καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων πολλάκις ἐστεφανῶσθαι, καὶ μηδὲ τοὺς ἐχθροὺς ὑμᾶς, ὡς οὐ καλά γε ἦν, ἃ προειλόμην, ἐπιχειρεῖν λέγειν. Ἐγὼ μὲν δὴ τοιαύτῃ συμβεβίωκα τύχῃ. Καὶ πολλ' ἂν ἔχων ἕτερ' εἰπεῖν περὶ αὐτῆς, παραλείπω, φυλαττόμενος τὸ λυπῆσαί τινας ἐν οἷς σεμνύνομαι.

la modération dont je serai capable et que le sujet pourra permettre.

Dès l'enfance j'eus l'avantage, Eschine, de fréquenter les écoles les plus honnêtes, et de jouir d'une assez grande aisance pour n'être réduit par le besoin à rien faire de bas Au sortir de cet âge, j'agis conformément à l'éducation que j'avais reçue; je donnai des jeux au peuple, j'équipai des galères, je fournis aux contributions, j'exerçai en tout temps ma libéralité, soit en particulier, soit en public; je me rendis utile à l'Etat et à mes amis. Lorsque je fus entré dans le gouvernement, je me conduisis de manière à obtenir plusieurs fois des couronnes chez mes concitoyens et chez les autres Grecs, et à empêcher mes ennemis eux-mêmes de censurer mon administration. Telle a été ma fortune jusqu'à ce jour. Je pourrais ajouter encore plusieurs traits que je supprime, dans la crainte de choquer par mon propre éloge ceux qui m'écoutent.

οἷς χρήσομαι,	desquels j'userai,
ἐκ τῶν ἐνόντων,	d'après les choses étant possibles,
ὡς ἂν δύνωμαι μετριώτατα.	comme je pourrai le-plus-modérément.
Ὑπῆρξε μὲν τοίνυν ἐμοί,	Il fut-possible donc à moi,
ὄντι μὲν παιδί, Αἰσχίνη,	étant enfant, Eschine,
φοιτᾷν	de me-rendre
εἰς τὰ διδασκαλεῖα προσήκοντα,	dans les écoles convenant,
καὶ ἔχειν	et d'avoir
ὅσα χρὴ	toutes-les-choses qu'il faut
τὸν ποιήσοντα μηδὲν αἰσχρὸν	celui *ne* devant-faire rien de honteux
διὰ ἔνδειαν·	par besoin,
ἐξελθόντι δὲ ἐκ παίδων, πράττειν	et étant-sorti des enfants, de faire
τὰ ἀκόλουθα τούτοις,	les choses conséquentes à celles-ci,
χορηγεῖν,	de donner-des-jeux,
τριηραρχεῖν,	d'équiper-des-trirèmes,
εἰσφέρειν, ἀπολείπεσθαι	de contribuer, de *ne* rester-au-dessous
μηδεμιᾶς φιλοτιμίας,	d'aucune largesse,
μήτε ἰδίας μήτε δημοσίας,	ni privée ni publique,
ἀλλὰ εἶναι χρήσιμον	mais d'être utile
καὶ τῇ πόλει καὶ τοῖς φίλοις·	et à la ville et aux amis;
ἐπειδὴ δὲ ἔδοξέ μοι	mais lorsqu'il parut-bon à moi
προσελθεῖν	de m'approcher
πρὸς τὰ κοινά,	vers les *affaires* communes,
ἑλέσθαι πολιτεύματα τοιαῦτα,	de choisir des plans-politiques tels,
ὥστε ἐστεφανῶσθαι	en-sorte d'avoir-été-couronné
πολλάκις	plusieurs-fois
καὶ ὑπὸ τῆς πατρίδος	et par la patrie
καὶ ὑπὸ τῶν ἄλλων Ἑλλήνων,	et par les autres Grecs,
καὶ μηδὲ ὑμᾶς τοὺς ἐχθροὺς	et pas-même vous les ennemis
ἐπιχειρεῖν λέγειν	*n'*entreprendre de dire
ὡς ἃ προειλόμην	que *les choses* que j'avais-préférées
οὐκ ἦν γε καλά.	n'étaient pas du moins belles.
Ἐγὼ μὲν δὴ συμβεβίωκα	Or moi j'ai-vécu-avec
τύχῃ τοιαύτῃ.	une fortune telle.
Καὶ ἔχων ἂν εἰπεῖν	Et ayant à dire
ἕτερα πολλὰ	d'autres choses nombreuses
περὶ αὐτῆς,	sur elle,
παραλείπω,	je *les* omets,
φυλαττόμενος τὸ λυπῆσαί τινας	me-gardant d'affliger quelques-uns
ἐν οἷς σεμνύνομαι.	dans *les choses* dont je me glorifie.

Σὺ δ', ὁ σεμνὸς ἀνήρ, καὶ διαπτύων τοὺς ἄλλους, σκόπει πρὸς ταύτην ὁποίᾳ τινὶ κέχρησαι τύχῃ· δι' ἣν, παῖς μὲν ὤν, μετὰ πολλῆς ἐνδείας ἐτράφης, ἅμα τῷ πατρὶ πρὸς τῷ διδασκαλείῳ προςεδρεύων, τὸ μέλαν τρίβων, καὶ τὰ βάθρα σπογγίζων, καὶ τὸ παιδαγωγεῖον κορῶν, οἰκέτου τάξιν, οὐκ ἐλευθέρου παιδὸς ἔχων. Ἀνὴρ δὲ γενόμενος, τῇ μητρὶ τελούσῃ τὰς βίβλους ἀνεγίνωσκες, καὶ τἄλλα συνεσκευωροῦ· τὴν μὲν νύκτα, νεβρίζων καὶ κρατηρίζων, καὶ καθαίρων τοὺς τελουμένους, καὶ ἀπομάττων τῷ πηλῷ καὶ τοῖς πιτύροις, καὶ ἀνιστὰς ἀπὸ τοῦ καθαρμοῦ καὶ κελεύων λέγειν, « Ἔφυγον κακόν, εὗρον ἄμεινον, » ἐπὶ τῷ μηδένα πώποτε τηλικοῦτον ὀλολύξαι σεμνυνόμενος· καὶ ἔγωγε νομίζω· μὴ γὰρ οἴεσθ' αὐτὸν φθέγγεσθαι μὲν οὕτω μέγα, ὀλολύζειν δ' οὐχ ὑπέρλαμπρον. Ἐν δὲ ταῖς ἡμέραις τοὺς καλοὺς θιά-

Pour vous, homme illustre, qui méprisez les autres, comparez votre fortune avec la mienne. Vous avez passé votre enfance dans une extrême misère, près de votre père qui tenait école. Préparer l'encre, nettoyer les bancs, balayer la classe, telle était votre occupation; occupation d'un esclave et non d'un enfant libre. Parvenu à l'adolescence, vous aidiez votre mère dans ses opérations mystiques, et lui lisiez ses formules lorsqu'elle initiait. Pendant la nuit vous couvriez les initiés d'une peau de faon, vous leur versiez du vin, vous les arrosiez d'eau lustrale, vous les frottiez de son et d'argile; et les faisant lever aussitôt après l'expiation, vous leur ordonniez de prononcer ces mots : « J'ai fui le mal et j'ai trouvé le bien. » Vous vous vantiez de crier mieux que personne; et je n'ai pas de peine à le croire. Vous déclamez aujourd'hui d'un ton trop éclatant pour n'avoir pas crié alors d'une manière remarquable. Pendant le jour vous conduisiez en triomphe les troupes des nouveaux initiés, qui marchaient dans les

Σὺ δέ, ὁ ἀνὴρ σεμνός,	Mais toi, l'homme illustre,
καὶ διαπτύων τοὺς ἄλλους,	et conspuant les autres,
σκόπει πρὸς ταύτην	regarde auprès de celle-ci
ὁποίᾳ τινὶ τύχῃ κέχρησαι·	de quelle fortune tu as usé;
διὰ ἣν, ὢν μὲν παῖς,	par laquelle, étant enfant,
ἐτράφης	tu as-été-nourri
μετὰ ἐνδείας πολλῆς,	avec un besoin grand,
προςεδρεύων ἅμα τῷ πατρὶ	étant-assis avec ton père
πρὸς τῷ διδασκαλείῳ,	près de l'école,
τρίβων τὸ μέλαν,	broyant le noir,
καὶ σπογγίζων τὰ βάθρα,	et épongeant les bancs,
καὶ κορῶν τὸ παιδαγωγεῖον,	et balayant la classe,
ἔχων τάξιν οἰκέτου,	ayant le rang d'un domestique,
οὐ παιδὸς ἐλευθέρου.	non d'un enfant libre.
Γενόμενος δὲ ἀνήρ,	Mais étant-devenu homme,
ἀνεγίνωσκες τὰς βίβλους	tu lisais les livres
τῇ μητρὶ τελούσῃ,	à ta mère initiant,
καὶ συνεσκευωροῦ	et concertais-avec-*elle*
τὰ ἄλλα·	les autres choses :
τὴν μὲν νύκτα,	*pendant* la nuit,
νεβρίζων,	revêtant-de-peaux-de-faon,
καὶ κρατηρίζων,	et remplissant-les-coupes,
καὶ καθαίρων τοὺς τελουμένους,	et purifiant ceux étant-initiés,
καὶ ἀπομάττων	et *les* frottant
τῷ πηλῷ καὶ τοῖς πιτύροις,	avec l'argile et le son,
καὶ ἀνιστὰς[97]	et *les* faisant-lever
ἀπὸ τοῦ καθαρμοῦ,	au-sortir de la purification,
καὶ κελεύων λέγειν,	et ordonnant de dire,
« Ἔφυγον κακόν,	« J'ai-fui le mal,
εὗρον ἄμεινον, »	j'ai trouvé le mieux, »
σεμνυνόμενος	te glorifiant
ἐπὶ τῷ μηδένα πώποτε	sur le personne jamais
ὀλολύξαι τηλικοῦτον·	*n'*avoir-hurlé aussi-puissamment;
καὶ ἔγωγε νομίζω·	et moi-certes je *le* crois;
μὴ γὰρ οἴεσθε αὐτὸν	car ne pensez pas lui
θέγγεσθαι μὲν οὕτω μέγα,	crier si grandement,
ὀλολύζειν δὲ	mais hurler
οὐχ ὑπέρλαμπρον.	non d'une-façon-plus-que-brillante.
Ἐν δὲ ταῖς ἡμέραις,	Mais dans les jours,
ἄγων τοὺς καλοὺς θιάσους	conduisant les beaux chœurs

σους ἄγων διὰ τῶν ὁδῶν, τοὺς ἐστεφανωμένους τῷ μαράθῳ καὶ τῇ λεύκῃ, τοὺς ὄφεις τοὺς παρείας θλίβων, καὶ ὑπὲρ τῆς κεφαλῆς αἰωρῶν, καὶ βοῶν, Εὐοῖ Σαβοῖ, καὶ ἐπορχούμενος Ὕης Ἄττης, Ἄττης Ὕης· ἔξαρχος, καὶ προηγεμών, καὶ κιστοφόρος, καὶ λικνοφόρος, καὶ τὰ τοιαῦτα ὑπὸ τῶν γραδίων προσαγορευόμενος, μισθὸν λαμβάνων τούτων ἔνθρυπτα καὶ στρεπτοὺς καὶ νεήλατα· ἐφ' οἷς τίς οὐκ ἂν ὡς ἀληθῶς αὐτὸν εὐδαιμονίσειε καὶ τὴν αὐτοῦ τύχην; Ἐπειδὴ δ' εἰς τοὺς δημότας ἐνεγράφης ὁπωσδήποτε (ἐῶ γὰρ τοῦτό γε), ἐπειδὴ δ' οὖν ἐνεγράφης, εὐθέως τὸ κάλλιστον ἐξελέξω τῶν ἔργων γραμματεύειν καὶ ὑπηρετεῖν τοῖς ἀρχιδίοις. Ὡς δ' ἀπηλλάγης ποτὲ καὶ τούτου, πάνθ' ἃ τῶν ἄλλων κατηγορεῖς, αὐτὸς ποιήσας, οὐ κατήσχυνας, μὰ Δί', οὐδὲν τῶν

rues couronnés de fenouil et de peuplier. Vous pressiez des serpents dans vos mains, les élevant sur votre tête, criant à haute voix, *Evoë, saboë*, et dansant à l'air de ces paroles, *Hyès attès, attès hyès*. Honoré par les vieilles femmes des noms de chef, de conducteur, de porte-van, de porte-lierre, et autres semblables, vous en receviez des tourtes et des gâteaux, digne fruit de vos peines. Qui ne le proclamerait heureux et n'envierait sa fortune? Quand vous fûtes inscrit, je n'examine pas comment, enfin quand vous fûtes inscrit dans une tribu, vous choisîtes aussitôt l'honnête emploi de greffier, et vous serviez sous des magistrats subalternes. Quand vous eûtes quitté cet emploi où vous avez commis vous-même les malversations que vous reprochez aux autres, la suite de votre vie ; ô dieux! ne dépara point de si

διὰ τῶν ὁδῶν,	par les rues,
τοὺς ἐστεφανωμένους	ceux ayant-été-couronnés
τῷ μαράθῳ καὶ τῇ λεύκῃ[98],	du fenouil et du peuplier,
θλίβων τοὺς ὄφεις	pressant les serpents
τοὺς παρείας,	les paréas,
καὶ αἰωρῶν ὑπὲρ τῆς κεφαλῆς,	et *les* élevant au-dessus de la tête,
καὶ βοῶν	et criant
Εὐοῖ Σαβοῖ,	Evoë Saboë,
καὶ ἐπορχούμενος	et dansant-sur *les paroles*
Ὕης Ἄττης,	Hyès Attès,
Ἄττης Ὕης·	Attès Hyès;
προσαγορευόμενος	étant-appelé
ἔξαρχος, καὶ προηγεμών,	chef, et conducteur,
καὶ κιστοφόρος, καὶ λικνοφόρος,	et porte-corbeille, et porte-van,
καὶ τὰ τοιαῦτα	et les *noms* tels
ὑπὸ τῶν γραδίων,	par les petites-vieilles,
λαμβάνων μισθὸν τούτων	recevant *pour* salaire de ces choses
ἔνθρυπτα καὶ στρεπτοὺς	des tourtes et des gâteaux
καὶ νεήλατα·	et des pains-frais;
ἐπὶ οἷς	pour lesquelles choses
τίς οὐκ ἂν εὐδαιμονίσειεν	qui n'estimerait-heureux
ὡς ἀληθῶς	véritablement
αὐτὸν καὶ τὴν τύχην αὐτοῦ;	lui et la fortune de lui?
Ἐπειδὴ δὲ ἐνεγράφης	Mais après-que tu fus-inscrit
εἰς τοὺς δημότας	parmi les citoyens
ὁπωσδήποτε	d'une-manière-quelconque
(ἐῶ γὰρ τοῦτό γε),	(car je laisse ceci du-moins),
ἐπειδὴ δὲ οὖν	mais donc après-que
ἐνεγράφης,	tu fus-inscrit,
εὐθέως ἐξελέξω	aussitôt tu te choisis
τὸ κάλλιστον τῶν ἔργων,	le plus beau des emplois,
γραμματεύειν	être-greffier
καὶ ὑπηρετεῖν	et servir
τοῖς ἀρχιδίοις.	les petits-magistrats.
Ὡς δὲ ἀπηλλάγης	Mais dès-que tu te fus débarrassé
καὶ τούτου ποτέ,	aussi de cet *emploi* enfin,
ποιήσας αὐτὸς πάντα	ayant-fait toi-même toutes les choses
ἃ κατηγορεῖς τῶν ἄλλων,	que tu dis-contre les autres,
οὐ κατήσχυνας,	tu n'as terni,
μὰ Δία, οὐδὲν	par Jupiter, aucune

προϋπηργμένων τῷ μετὰ ταῦτα βίῳ· ἀλλὰ μισθώσας σαυτὸν τοῖς βαρυστόνοις ἐπικαλουμένοις ἐκείνοις ὑποκριταῖς, Σιμύλῳ καὶ Σωκράτει, ἐτριταγωνίστεις, σῦκα καὶ βότρυς καὶ ἐλάας συλλέγων, ὥςπερ ὀπωρώνης, ἐκ τῶν ἀλλοτρίων χωρίων, πλείω λαμβάνων ἀπὸ τούτων τραύματα ἢ τῶν ἀγώνων οὓς ὑμεῖς περὶ τῆς ψυχῆς ἠγωνίζεσθε· ἦν γὰρ ἄσπονδος καὶ ἀκήρυκτος ὑμῖν πρὸς τοὺς θεατὰς πόλεμος· ὑφ' ὧν πολλὰ τραύματ' εἰληφώς, εἰκότως τοὺς ἀπείρους τῶν τοιούτων κινδύνων ὡς δειλοὺς σκώπτεις.

Ἀλλὰ γὰρ παρεὶς ὧν τὴν πενίαν αἰτιάσαιτ' ἄν τις, πρὸς αὐτὰ τὰ τοῦ τρόπου σου βαδιοῦμαι κατηγορήματα. Τοιαύτην γὰρ εἵλου πολιτείαν (ἐπειδή ποτε καὶ τοῦτ' ἐπῆλθέ σοι ποιῆσαι), δι' ἣν, εὐτυχούσης μὲν τῆς πατρίδος, λαγὼ βίον ἔζης, δεδιὼς καὶ τρέμων, καὶ ἀεὶ πληγήσεσθαι προςδοκῶν ἐφ' οἷς σαυτῷ συνῄδεις

beaux commencements : vous reçûtes pour jouer les troisièmes rôles l'argent d'un Simyle, d'un Socrate, ces fameux histrions surnommés les pathétiques. Comme un revendeur, vous alliez cueillir sur le terrain d'autrui des figues, des raisins, des olives, qui vous attirèrent plus de blessures que vous n'en recevez, Athéniens, dans ces combats où votre vie est en péril; car les spectateurs vous avaient déclaré une guerre irréconciliable; et comme ils ont payé vos talents de plus d'une blessure, vous avez raison de traiter de lâches ceux qui n'ont pas couru les mêmes périls.

Sans m'arrêter aux vices qu'on peut attribuer à l'indigence, je viens à ceux qui naissent de la dépravation de votre cœur. Dans les affaires politiques (car vous voulûtes aussi vous en mêler), on vous vit, par une suite du système que vous aviez adopté, vous affliger des succès de votre patrie, trembler, frémir, redoutant le supplice pour

τῶν προϋπηργμένων
τῷ βίῳ μετὰ ταῦτα·
ἀλλὰ μισθώσας σαυτὸν
ἐκείνοις τοῖς ὑποκριταῖς
ἐπικαλουμένοις
βαρυστόνοις,
Σιμύλῳ καὶ Σωκράτει,
ἐτριταγωνίστεις,
συλλέγων σῦκα
καὶ βότρυς[69] καὶ ἐλάας
ἐκ τῶν χωρίων ἀλλοτρίων,
ὥςπερ ὀπωρώνης,
λαμβάνων ἀπὸ τούτων
τραύματα πλείω
ἢ τῶν ἀγώνων
οὓς ὑμεῖς ἠγωνίζεσθε
περὶ τῆς ψυχῆς·
πόλεμος γὰρ ἄσπονδος
καὶ ἀκήρυκτος
ἦν ὑμῖν πρὸς τοὺς θεατάς·
ὑπὸ ὧν εἰληφὼς
τραύματα πολλά,
σκώπτεις εἰκότως ὡς δειλοὺς
τοὺς ἀπείρους
τῶν κινδύνων τοιούτων.
Ἀλλὰ γὰρ παρεὶς
ὧν τις
ἂν αἰτιάσαιτο τὴν πενίαν,
βαδιοῦμαι
πρὸς τὰ κατηγορήματα αὐτὰ
τοῦ τρόπου σου.
Εἵλου γὰρ πολιτείαν τοιαύτην
(ἐπειδή ποτε ἐπῆλθέ σοι
ποιῆσαι καὶ τοῦτο), διὰ ἣν,
τῆς πατρίδος εὐτυχούσης μέν,
ἔζης βίον λαγώ,
δεδιὼς καὶ τρέμων,
καὶ προςδοκῶν ἀεὶ
πληγήσεσθαι
ἐπὶ οἷς συνῄδεις

de celles ayant-été-faites-d'abord
par ta vie après ces choses;
mais ayant-loué toi-même
à ces comédiens
étant-surnommés
aux-bruyants-gémissements,
Simyle et Socrate,
tu étais-comédien-de-troisième-ordre
récoltant des figues
et des raisins et des olives
des terrains d'-autrui,
comme un marchand-de-fruits,
recevant de ces choses
des blessures plus nombreuses
que des combats
que vous vous souteniez
pour la vie;
car une guerre sans-trève
et sans-proclamation
était à vous envers les spectateurs :
desquels ayant-reçu
des blessures nombreuses,
tu railles avec-raison comme lâches
ceux sans-expérience
des dangers tels.
Mais en-effet ayant-omis
les choses dont quelqu'un
pourrait-accuser la pauvreté,
je marcherai
vers les reproches mêmes
du caractère de toi.
Car tu as choisi une politique telle
(après-que enfin il survint à toi
de faire aussi cela), par laquelle,
la patrie étant-heureuse,
tu vivais la vie d'un lièvre,
craignant et tremblant,
et t'attendant toujours
à être-frappé
pour *les choses* que tu savais

ἀδικοῦντι· ἐν οἷς δ' ἠτύχησαν οἱ ἄλλοι, θρασὺς ὢν ὑφ' ἁπάντων ὦψαι. Καίτοι, ὅστις χιλίων πολιτῶν ἀποθανόντων ἐθάρρησε, τί οὗτος παθεῖν ὑπὸ τῶν ζώντων δίκαιός ἐστι;

Πολλὰ τοίνυν ἕτερ' εἰπεῖν ἔχων περὶ αὐτοῦ, παραλείψω· οὐ γὰρ ὅσ' ἂν δείξαιμι προσόντ' αἰσχρὰ τούτῳ καὶ ὀνείδη, πάντ' οἶμαι δεῖν εὐχερῶς λέγειν, ἀλλ' ὅσα μηδὲν αἰσχρόν ἐστιν εἰπεῖν ἐμοί. Ἐξέτασον τοίνυν παρ' ἄλληλα τὰ σοὶ κἀμοὶ βεβιωμένα, πράως καὶ μὴ πικρῶς, Αἰσχίνη· εἶτ' ἐρώτησον τουτουσὶ τὴν ὁποτέρου τύχην ἂν ἕλοιθ' ἕκαστος αὐτῶν.

Ἐδίδασκες γράμματα· ἐγὼ δ' ἐφοίτων. Ἐτέλεις· ἐγὼ δ' ἐτελούμην. Ἐχόρευες· ἐγὼ δ' ἐχορήγουν. Ἐγραμμάτευες· ἐγὼ δ' ἠκκλησίαζον. Ἐτριταγωνίστεις· ἐγὼ δ' ἐθεώρουν. Ἐξέπιπτες·

les crimes que vous reprochait votre conscience, et ne montrant de l'assurance que quand vos concitoyens étaient malheureux. Mais un homme qui se félicite de la mort d'un nombre infini de citoyens, que ne doit-il pas avoir à craindre de ceux qui leur survivent?

J'aurais encore à dire de lui mille choses que je supprime, persuadé que je ne dois pas dévoiler au hasard toutes ses turpitudes, mais seulement celles dont je puis parler sans rougir. Faites donc, Eschine, sans aigreur et sans amertume, le parallèle de votre fortune et de la mienne, et demandez à ceux qui nous environnent laquelle des deux ils voudraient choisir.

Vous enseigniez les premières lettres; moi, je fréquentais les écoles Vous serviez dans les initiations; j'étais initié. Vous dansiez dans les jeux; j'y présidais. Vous étiez greffier; je convoquais les assemblées.

σαυτῷ ἀδικοῦντι·	*en* toi-même faisant-injustice;
ἐν οἷς δὲ	mais *dans les choses* dans lesquelles
οἱ ἄλλοι ἠτύχησαν,	les autres ont-été-malheureux,
ὦψαι ὑπὸ ἁπάντων	tu as-été-vu par tous
ὢν θρασύς.	étant hardi.
Καίτοι τί οὗτος,	Cependant quoi celui-ci,
ὅστις ἐθάρρησε	quiconque se rassura
χιλίων πολιτῶν ἀποθανόντων,	mille citoyens étant-morts,
ἔστι δίκαιος παθεῖν	est-il juste d'éprouver
ὑπὸ τῶν ζώντων;	de-la-part de ceux vivant?
Ἔχων τοίνυν εἰπεῖν	Ayant donc à dire
ἕτερα πολλὰ περὶ αὐτοῦ,	d'autres choses nombreuses sur lui,
παραλείψω·	je *les* omettrai;
οὐ γὰρ οἶμαι	car je ne crois pas
δεῖν λέγειν εὐχερῶς	falloir dire facilement
πάντα αἰσχρὰ	toutes les choses honteuses
καὶ ὀνείδη,	et les sujets-de-reproches,
ὅσα ἂν δείξαιμι	tous-ceux-que je pourrais montrer
προσόντα τούτῳ,	étant-attachés à celui-ci,
ἀλλὰ ὅσα	mais tous-ceux-que
ἔστι μηδὲν αἰσχρὸν ἐμοὶ εἰπεῖν.	il *n'*est *en* rien honteux à moi de dire.
Ἐξέτασον τοίνυν	Examine donc
παρὰ ἄλληλα	vis-à-vis les-unes-des-autres
τὰ βεβιωμένα	les choses ayant-été-faites-dans-la-vie
σοὶ καὶ ἐμοί,	*par* toi et moi,
πράως καὶ μὴ πικρῶς,	doucement et non amèrement,
Αἰσχίνη·	Eschine;
εἶτα ἐρώτησον τουτουσὶ	ensuite interroge ceux-ci
τὴν τύχην ὁποτέρου	la fortune duquel-des-deux
ἕκαστος αὐτῶν ἂν ἕλοιτο	chacun d'eux aurait choisie.
Ἐδίδασκες γραμματα·	Tu enseignais les lettres;
ἐγὼ δὲ ἐφοίτων.	et moi je fréquentais *l'école*.
Ἐτέλεις	Tu initiais;
ἐγὼ δὲ ἐτελούμην.	et moi j'étais-initié.
Εχόρευες·	Tu dansais;
ἐγὼ δὲ ἐχορήγουν.	et moi je présidais-aux-chœurs.
Εγραμμάτευες·	Tu étais-greffier;
ἐνὼ δὲ ἠκκλησίαζον.	et moi je convoquais-les-assemblées.
Ετριταγωνίστεις·	Tu étais-acteur-de-troisième-ordre;
ἐγὼ δὲ ἐθεώρουν.	et moi j'étais-spectateur.

ἐγὼ δ' ἐσύριττον. Ὑπὲρ τῶν ἐχθρῶν πεπολίτευσαι πάντα· ἐγὼ δὲ ὑπὲρ τῆς πατρίδος. Ἐῶ τἄλλα. Ἀλλὰ νυνὶ τήμερον ἐγὼ μὲν ὑπὲρ τοῦ στεφανωθῆναι δοκιμάζομαι, τὸ δὲ μηδοτιοῦν ἀδικεῖν ἀνωμολόγημαι· σοὶ δὲ συκοφάντῃ μὲν εἶναι δοκεῖν ὑπάρχει· κινδυνεύεις δέ, εἴτ' ἔτι δεῖ σε τοῦτο ποιεῖν, εἴτ' ἤδη πεπαῦσθαι, μὴ μεταλαβόντα τὸ πέμπτον μέρος τῶν ψήφων. Ἀγαθῇ γε (οὐχ ὁρᾷς;) τύχῃ συμβεβιωκώς, τῆς ἐμῆς ὡς φαύλης κατηγορεῖς.

Φέρε δή, καὶ τὰς τῶν λειτουργιῶν μαρτυρίας, ὧν λελειτούργηκα, ὑμῖν ἀναγνῶ πάσας· παρανάγνωθι δ' ἡμῖν καὶ σὺ τὰς ῥήσεις ἃς ἐλυμήνω·

« Ἥκω λιπὼν κευθμῶνα καὶ σκότου πύλας, »

καί,

« Κακαγγελεῖν μὲν ἴσθι μὴ θέλοντά με. »

καί.....Κακὸν κακῶς σε μάλιστα μὲν οἱ θεοί, ἔπειτα δὲ οὗτοι

Vous étiez acteur du troisième ordre; j'étais spectateur. Vous tombiez sur le théâtre; je sifflais. Vous agissiez pour nos ennemis; moi pour la patrie. Je passe le reste sous silence. Mais aujourd'hui même où il est question pour moi d'une couronne, on rend justice à mon innocence; vous, au contraire, vous êtes reconnu pour calomniateur, et il s'agit de décider si, dans ce jugement, on vous imposera silence pour toujours, en ne vous accordant point la cinquième partie des suffrages. Vous le voyez, Eschine, la fortune brillante qui vous a constamment suivi vous donne le droit de mépriser la mienne.

Je vais vous lire, Athéniens, les témoignages qui attestent les charges publiques que j'ai remplies : vous, Eschine, citez aussi les vers que vous débitiez si mal :

Je quitte le séjour du ténébreux Averne,

et :

Sachez que, malgré moi, j'annonce des malheurs.

Et... Que les dieux, et tous ces hommes qui m'écoutent, te perdent

Ἐξέπιπτες·	Tu tombais;
ἐγὼ δὲ ἐσύριττον.	et moi je sifflais.
Πεπολίτευσαι πάντα	Tu as administré toutes choses
ὑπὲρ τῶν ἐχθρῶν·	pour les ennemis;
ἐγὼ δὲ ὑπὲρ τῆς πατρίδος.	et moi pour la patrie.
Ἐῶ τὰ ἄλλα.	Je laisse les autres choses.
Ἀλλὰ νυνὶ τήμερον	Mais maintenant aujourd'hui
ἐγὼ δοκιμάζομαι	je suis-mis-à-l'épreuve
ὑπὲρ τοῦ στεφανωθῆναι,	pour le être-couronné,
ἀνωμολόγημαι δὲ	et j'ai-été-reconnu
τὸ ἀδικεῖν	*pour* le *ne* faire-injustice
μηδοτιοῦν·	*en* rien-que-ce-soit;
ὑπάρχει δέ σοι	mais il arrive à toi
δοκεῖν μὲν εἶναι συκοφάντῃ·	de paraître être calomniateur;
κινδυνεύεις δέ,	et tu risques,
εἴτε δεῖ σε ἔτι ποιεῖν τοῦτο,	et s'il faut toi encore faire cela,
εἴτε ἤδη πεπαῦσθαι,	et si déjà cesser,
μὴ μεταλαβόντα	n'ayant pas obtenu
τὸ πέμπτον μέρος τῶν ψήφων.	la cinquième partie des suffrages.
Συμβεβιωκὼς δὲ	Mais ayant-vécu-avec
τύχῃ ἀγαθῇ γε	une fortune bonne certes
(οὐχ ὁρᾷς;),	(ne vois-tu pas?)
κατηγορεῖς τῆς ἐμῆς ὡς φαύλης	tu accuses la mienne comme chétive.
Φέρε δή,	Apporte donc,
ἀναγνῶ ὑμῖν	que je lise à vous
καὶ τὰς μαρτυρίας	aussi les témoignages
τῶν λειτουργιῶν	des charges
ὧν λελειτούργηκα· σὺ δὲ καὶ	que j'ai remplies; mais toi aussi
παρανάγνωθι ἡμῖν	lis-en-revanche à nous
τὰς ῥήσεις ἃς ἐλυμήνω·	les vers que tu gâtais :
« Ἥκω λιπὼν	« J'arrive ayant-quitté
κευθμῶνα καὶ πύλας	la retraite et les portes
σκότου [100] · »	de l'obscurité; »
καί,	et,
« Ἴσθι μέν με	« Sache moi
κακαγγελεῖν	devoir-annoncer-des-malheurs
μὴ θέλοντα· »	ne voulant pas; »
καί....	et...
Οἱ μὲν θεοὶ λάλιστα,	*Que* les dieux surtout,
ἔπειτα δὲ πάντες οὗτοι	et ensuite tous ceux-ci

πάντες ἀπολέσειαν, πονηρὸν ὄντα καὶ πολίτην καὶ τριταγωνιστήν!

Λέγε τὰς μαρτυρίας.

ΜΑΡΤΥΡΕΣ.

Ἐν μὲν τοίνυν τοῖς πρὸς τὴν πόλιν, τοιοῦτος ἐγώ· ἐν δὲ τοῖς ἰδίοις, εἰ μὴ πάντες ἴστε ὅτι κοινός, καὶ φιλάνθρωπος, καὶ πᾶσι τοῖς δεομένοις ἐπαρκῶν, σιωπῶ, καὶ οὐδὲν ἂν εἴποιμι, οὐδὲ παρασχοίμην περὶ τούτων οὐδεμίαν μαρτυρίαν, οὔτ' εἴ τινας ἐκ τῶν πολεμίων ἐλυσάμην, οὔτ' εἴ τισι θυγατέρας ἀποροῦσι συνεξέδωκα, οὔτε τῶν τοιούτων οὐδέν. Καὶ γὰρ οὕτω πως ὑπείληφα· ἐγὼ νομίζω τὸν μὲν εὖ παθόντα δεῖν μεμνῆσθαι τὸν πάντα χρόνον, τὸν δ' εὖ ποιήσαντα εὐθὺς ἐπιλελῆσθαι, εἰ δεῖ τὸν μὲν χρηστοῦ, τὸν δὲ μὴ μικροψύχου ποιεῖν ἔργον ἀνθρώπου. Τὸ δὲ τὰς ἰδίας εὐεργεσίας ὑπομιμνήσκειν καὶ λέγειν, μικροῦ δεῖν ὅμοιόν ἐστι τῷ ὀνειδίζειν. Οὐ δὴ ποιήσω τοιοῦτον οὐδέν,

comme tu le mérites, citoyen pervers, traître à la patrie, vil acteur des troisièmes rôles.

Lisez les témoignages.

TÉMOIGNAGES.

Dans mes fonctions publiques, voilà comme je me suis comporté quant à ma conduite privée, si vous n'êtes pas convaincus que j'ai été doux, humain, toujours prêt à secourir nos citoyens indigents, je me tais, et ne me permets de citer ni les prisonniers que j'ai rachetés, ni les filles sans parents et sans fortune que j'ai dotées, ni telle autre action dont je pourrais tirer gloire. Car voici mon sentiment à ce sujet : c'est à celui qui a reçu un service de le publier, à celui qui l'a rendu de le taire, si l'un veut être généreux, et si l'autre craint d'être ingrat. Qui rappelle un bienfait, a l'air de le reprocher. Mais je ne ferai

ἀπολέσειαν κακῶς σε κακόν,	perdent misérablement toi méchant,
ὄντα πονηρὸν καὶ πολίτην	étant mauvais et citoyen
καὶ τριταγωνιστήν!	et acteur-de-troisième-ordre !
Λέγε τὰς μαρτυρίας.	Dis les témoignages.
ΜΑΡΤΥΡΕΣ.	**TÉMOINS.**
Ἐν μὲν τοίνυν τοῖς	Donc dans les choses
πρὸς τὴν πόλιν,	envers la ville,
ἐγὼ τοιοῦτος·	moi *je fus* tel;
ἐν δὲ τοῖς ἰδίοις,	mais dans les choses privées,
εἰ μὴ ἴστε πάντες	si vous ne savez pas tous
ὅτι κοινός,	que *je fus* officieux,
καὶ φιλάνθρωπος,	et bienveillant,
καὶ ἐπαρκῶν πᾶσι τοῖς δεομένοις,	et secourant tous ceux ayant-besoin,
σιωπῶ,	je me tais,
καὶ εἴποιμι ἂν οὐδὲν	et *ne* dirais rien
οὐδὲ παρασχοίμην	et ne présenterais
οὐδεμίαν μαρτυρίαν περὶ τούτων,	aucun témoignage sur ces choses,
οὔτε εἰ ἐλυσάμην τινὰς	ni si j'ai délivré quelques-uns
ἐκ τῶν πολεμίων,	des ennemis,
οὔτε εἰ συνεξέδωκα θυγατέρας	ni si j'ai-aidé-à-marier *leurs* filles
τισὶν ἀποροῦσιν,	quelques-uns sans-ressources,
οὔτε οὐδὲν τῶν τοιούτων.	ni aucune des choses telles.
Καὶ γὰρ ὑπείληφα	Et en-effet j'ai pensé
οὕτω πως·	ainsi en-quelque-sorte :
ἐγὼ νομίζω δεῖν	moi je crois falloir
τὸν μὲν παθόντα εὖ	celui ayant-éprouvé bien
μεμνῆσθαι πάντα τὸν χρόνον,	se souvenir tout le temps,
τὸν δὲ ποιήσαντα εὖ	mais celui ayant-fait bien
ἐπιλελῆσθαι εὐθύς,	avoir-oublié aussitôt,
εἰ δεῖ τὸν μὲν	s'il faut l'un
ποιεῖν ἔργον ἀνθρώπου χρηστοῦ,	faire l'action d'un homme honnête,
τὸν δὲ	l'autre *d'un homme*
μὴ μικροψύχου.	non d'âme-petite.
Τὸ δὲ ἀναμιμνήσκειν καὶ λέγειν	Mais le rappeler et dire
τὰς εὐεργεσίας ἰδίας	les bienfaits personnels
ἐστὶν ὅμοιον, δεῖν μικροῦ,	est semblable, falloir de peu,
τῷ ὀνειδίζειν.	au reprocher.
Οὐ δὴ ποιήσω	Certes je ne ferai
οὐδὲν τοιοῦτον,	rien de tel,

οὐδὲ προαχθήσομαι. Ἀλλ' ὅπως ποθ' ὑπείλημμαι περὶ τούτων, ἀρκεῖ μοι.

Βούλομαι δέ, τῶν ἰδίων ἀπαλλαγείς, ἔτι μικρὰ πρὸς ὑμᾶς εἰπεῖν περὶ τῶν κοινῶν. Εἰ μὲν γὰρ ἔχεις, Αἰσχίνη, τῶν ὑπὸ τουτονὶ τὸν ἥλιον εἰπεῖν ἀνθρώπων, ὅστις ἀθῷος τῆς Φιλίππου πρότερον, καὶ νῦν τῆς Ἀλεξάνδρου δυναστείας γέγονεν, ἢ τῶν Ἑλλήνων, ἢ τῶν βαρβάρων, ἔστω· συγχωρῶ σοι τὴν ἐμὴν εἴτε τύχην, εἴτε δυςτυχίαν ὀνομάζειν βούλει, πάντων αἰτίαν γεγενῆσθαι. Εἰ δὲ καὶ τῶν μηδεπώποτ' ἰδόντων ἐμέ, μηδὲ φωνὴν ἀκηκοότων ἐμοῦ, πολλοὶ πολλὰ καὶ δεινὰ πεπόνθασι, μὴ μόνον κατ' ἄνδρα, ἀλλὰ καὶ πόλεις ὅλαι καὶ ἔθνη, πόσῳ δικαιότερον καὶ ἀληθέστερον τὴν ἁπάντων, ὡς ἔοικεν, ἀνθρώπων τύχην κοινήν, καὶ φοράν τινα πραγμάτων χαλεπήν, καὶ οὐχ οἵαν ἔδει, τούτων αἰτίαν

rien de semblable; je n'en viendrai jamais là. Quoi qu'on pense de moi à cet égard, je suis content.

J'abandonne les actions privées pour revenir encore en peu de mots aux affaires publiques Si dans tout l'univers, Eschine, vous pouvez nommer un seul mortel, Grec ou barbare, qui n'ait pas ressenti les effets de la puissance de Philippe et d'Alexandre, je conviens avec vous que mon sort, ou, si vous le voulez, mon mauvais sort, a causé toutes les calamités. Mais si tant d'hommes, qui ne m'ont ni vu ni entendu, je ne dis pas des particuliers, mais des villes et des nations entières ont essuyé mille disgrâces, n'est-il pas plus juste et plus raisonnable de rejeter les maux qui accablent tous les peuples sur la rigueur du sort qui poursuit tous les hommes, et sur un enchaînement de circonstances malheureuses? Vous donc, Eschine, vous

οὐδὲ προαχθήσομαι.	ni ne serai-porté *à le faire.*
Ἀλλὰ ἀρκεῖ μοι,	Mais il suffit à moi,
ὅπως ποτὲ	comment enfin
ὑπείλημμαι περὶ τούτων	j'ai-été-jugé sur ces choses.
Βούλομαι δέ,	Mais je veux,
ἀπαλλαγεὶς	m'étant-éloigné
τῶν ἰδίων,	des choses particulières,
εἰπεῖν ἔτι μικρὰ	dire encore des *paroles* courtes
πρὸς ὑμᾶς	à vous
περὶ τῶν κοινῶν.	sur les *affaires* communes.
Εἰ μὲν γὰρ ἔχεις εἰπεῖν, Αἰσχίνη,	Car si tu as à dire, Eschine.
ὅστις τῶν ἀνθρώπων	qui des hommes
ὑπὸ τουτονὶ τὸν ἥλιον,	sous ce soleil,
ἢ τῶν Ἑλλήνων,	ou des Grecs,
ἢ τῶν βαρβάρων,	ou des barbares,
γέγονεν ἀθῷος	a été sain-et-sauf
τῆς δυναστείας Φιλίππου	de la puissance de Philippe
καὶ νῦν τῆς Ἀλεξάνδρου,	et maintenant de celle d'Alexandre,
ἔστω·	soit;
συγχωρῶ σοι τὴν ἐμὴν	j'accorde à toi la mienne
εἴτε βούλει ὀνομάζειν τύχην,	soit-que tu veuilles nommer fortune,
εἴτε δυςτυχίαν,	soit-que infortune,
γεγενῆσθαι αἰτίαν πάντων	avoir-été cause de toutes choses.
Εἰ δὲ πολλοὶ	Mais si de nombreux
καὶ τῶν ἰδόντων ἐμὲ	même de ceux *n'*ayant-vu moi
μηδεπώποτε,	jamais-encore,
μηδὲ ἀκηκοότων φωνὴν ἐμοῦ,	et n'ayant pas entendu la voix de moi
πεπόνθασι πολλὰ	ont souffert *des maux* nombreux
καὶ δεινά,	et terribles,
μὴ μόνον κατὰ ἄνδρα,	non seulement *homme* par homme,
ἀλλὰ καὶ πόλεις ὅλαι	mais encore des villes entières
καὶ ἔθνη,	et des nations,
πόσῳ δικαιότερον	de combien *est-il* plus-juste
καὶ ἀληθέστερον,	et plus-vrai,
ἡγεῖσθαι τὴν τύχην κοινὴν,	de penser la fortune commune,
ὡς ἔοικεν,	comme il semble,
ἁπάντων ἀνθρώπων,	de tous les hommes,
καί τινα φορὰν χαλεπὴν	et quelque cours fâcheux
πραγμάτων,	d'affaires,
καὶ οὐχ οἵαν ἔδει,	et non *tel* qu'il fallait,

ἡγεῖσθαι; Σὺ τοίνυν ταῦτ' ἀφείς, ἐμὲ τὸν παρὰ τουτοισὶ πεπολιτευμένον αἰτιᾷ καὶ ταῦτ', εἰδὼς ὅτι, εἰ μὴ καὶ τὸ ὅλον, μέρος γ' ἐπιβάλλει τῆς βλασφημίας ἅπασι, καὶ μάλιστά σοι. Εἰ μὲν γὰρ ἐγὼ κατ' ἐμαυτὸν αὐτοκράτωρ ὢν περὶ τῶν πραγμάτων ἐβουλευόμην, ἦν ἂν τοῖς ἄλλοις ῥήτορσιν ὑμῖν ἐμὲ αἰτιᾶσθαι· εἰ δὲ παρῆτε μὲν ἐν ταῖς ἐκκλησίαις ἁπάσαις ἀεί, ἐν κοινῷ δὲ τὸ συμφέρον ἡ πόλις προὐτίθει σκοπεῖν, πᾶσι δὲ ταῦτ' ἐδόκει τότε ἄριστ' εἶναι, καὶ μάλιστά σοι (οὐ γὰρ ἐπ' εὐνοίᾳ γ' ἐμοὶ παρεχώρεις ἐλπίδων, καὶ ζήλου καὶ τιμῶν, ἃ πάντα προσῆν τοῖς τότε πραττομένοις ὑπ' ἐμοῦ, ἀλλὰ τῆς ἀληθείας ἡττώμενος δηλονότι, καὶ τῷ μηδὲν ἔχειν εἰπεῖν βέλτιον), πῶς οὐκ ἀδικεῖς καὶ δεινὰ ποιεῖς, τούτοις νῦν ἐγκαλῶν ὧν τότε οὐκ εἶχες λέγειν βελτίω;

supprimez les vraies causes de ces maux ; et parce que j'avais quelque part au gouvernement dans Athènes, vous me les imputez à moi seul, sachant bien qu'au moins une partie de l'imputation retombe sur tous les orateurs, et principalement sur vous. En effet, si, ne consultant que moi-même, j'eusse décidé en souverain les affaires publiques, vous auriez raison, vous et les autres, de vous élever contre moi, mais si vous étiez tous présents à toutes les assemblées ; si l'on délibérait en commun sur les intérêts de l'État; si mes avis ont été approuvés de tout le monde, et de vous surtout, Eschine (car, sans doute, ce n'était point par affection que vous me cédiez les espérances, la gloire et les honneurs qui étaient le prix de mes conseils, mais par conviction, mais par impossibilité d'en donner de meilleurs); n'est-ce pas le comble de l'injustice de condamner à présent ce que je disais alors, si vous n'aviez rien de mieux à dire?

αἰτίαν τούτων;	cause de ces *maux ?*
Σὺ τοίνυν	Ainsi toi
ἀφεὶς ταῦτα	ayant-omis ces choses,
αἰτιᾷ ἐμέ,	tu accuses moi,
τὸν πεπολιτευμένον	celui ayant-administré
παρὰ τουτοισί·	chez ceux-ci;
καὶ ταῦτα, εἰδὼς ὅτι	et cela, sachant que
μέρος γε τῆς βλασφημίας,	une part du-moins de la calomnie,
εἰ μὴ καὶ τὸ ὅλον,	si non aussi le tout,
ἐπιβάλλει ἅπασι,	retombe-sur tous,
καὶ μάλιστά σοι. Εἰ μὲν γὰρ ἐγὼ	et le-plus *sur* toi. Si en-effet moi
ὢν αὐτοκράτωρ	étant maître-absolu
ἐβουλευόμην κατὰ ἐμαυτὸν	j'avais décidé en moi-même
περὶ τῶν πραγμάτων,	sur les affaires,
ἦν ἂν ὑμῖν	il serait *permis* à vous
τοῖς ἄλλοις ῥήτορσιν	les autres orateurs
αἰτιᾶσθαι ἐμέ·	d'inculper moi;
εἰ δὲ παρῆτε μὲν ἀεὶ	mais si vous étiez-présents toujours
ἐν ἁπάσαις ταῖς ἐκκλησίαις,	dans toutes les assemblées,
ἡ δὲ πόλις προὐτίθει	et *si* la ville proposait
σκοπεῖν ἐν κοινῷ	d'examiner en commun
τὸ συμφέρον,	la chose étant-utile,
ταῦτα δὲ ἐδόκει	et *si* ces choses paraissaient
πᾶσι τότε εἶναι ἄριστα,	à tous alors être les meilleures,
καὶ μάλιστά σοι	et surtout à toi
(οὐ γὰρ παρεχώρεις ἐμοὶ	(car tu ne cédais pas à moi
ἐπὶ εὐνοίᾳ γε	par bienveillance du-moins
ἐλπίδων, καὶ ζήλου,	les espérances, et la gloire,
καὶ τιμῶν,	et les honneurs,
ἃ πάντα προσῆν	qui tous étaient-attachés
οἷς πραττομένοις ὑπὸ ἐμοῦ τότε,	aux choses étant-faites par moi alors
ἀλλὰ δηλονότι	mais évidemment-que
ἡττώμενος τῆς ἀληθείας,	vaincu *par* la vérité,
καὶ τῷ ἔχειν εἰπεῖν	et par-suite du *n'*avoir à dire
μηδὲν βέλτιον),	rien de meilleur),
πῶς οὐκ ἀδικεῖς	comment n'agis-tu-pas-injustement
καὶ ποιεῖς δεινά,	et *ne* fais-tu pas des choses indignes
ἐγκαλῶν νῦν τούτοις,	accusant maintenant celles-ci
ὧν οὐκ εἶχες τότε	*que* lesquelles tu n'avais pas alors
λέγειν βελτίω;	à dire de meilleures?

Παρὰ μὲν τοίνυν τοῖς ἄλλοις ἔγωγ' ὁρῶ πᾶσιν ἀνθρώποις διωρισμένα καὶ τεταγμένα οὕτω πως τὰ τοιαῦτα. Ἀδικεῖ τις ἑκών; ὀργὴ καὶ τιμωρία κατ' αὐτοῦ· ἐξήμαρτέ τις ἄκων; συγγνώμη ἀντὶ τῆς τιμωρίας τούτῳ. Οὔτ' ἀδικῶν τις, οὔτ' ἐξαμαρτάνων, εἰς τὰ πᾶσι δοκοῦντα συμφέρειν ἑαυτὸν δούς, οὐ κατώρθωσε μεθ' ἁπάντων; οὐκ ὀνειδίζειν οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ δίκαιον, ἀλλὰ συνάχθεσθαι. Φανήσεται τοίνυν ταῦτα πάντα οὕτως οὐ μόνον ἐν τοῖς νομίμοις, ἀλλὰ καὶ ἡ φύσις αὐτὴ τοῖς ἀγράφοις νόμοις καὶ τοῖς ἀνθρωπίνοις ἤθεσι διώρικεν. Αἰσχίνης τοίνυν τοσοῦτον ὑπερβέβληκεν ἅπαντας ἀνθρώπους ὠμότητι καὶ συκοφαντίᾳ, ὥστε, καὶ ὧν αὐτὸς ὡς ἀτυχημάτων ἐμέμνητο, καὶ ταῦτ' ἐμοῦ κατηγορεῖ.

Καὶ πρὸς τοῖς ἄλλοις, ὥσπερ αὐτὸς ἁπλῶς καὶ μετ' εὐνοίας πάντας εἰρηκὼς τοὺς λόγους, φυλάττειν ἐμὲ καὶ τηρεῖν ἐκέλευεν,

Voici des règles que je vois établies et fixées chez tous les peuples. Un citoyen a-t-il prévariqué par sa faute, il doit encourir l'indignation et subir la peine; a-t-il failli involontairement, on doit l'excuser plutôt que le punir; n'a-t-il commis aucun délit, ni fait aucune faute, mais se livrant à ce que tout le monde jugeait nécessaire, a-t-il, avec tout le monde, manqué de réussir; loin d'aggraver sa douleur par des reproches et des injures, on doit la partager. Ces règles ne sont point seulement fondées sur les lois; elles sont établies par la nature même, et gravées dans le cœur de tous les hommes Eschine donc l'emporte tellement sur tous en méchanceté et en cruauté, qu'il m'impute comme des crimes les événements que lui même rappelait comme des coups de la fortune.

D'ailleurs, comme si tous ses discours ne respiraient que candeur et zèle pour la patrie, il vous avertit de vous défier de moi, et me

Ἔγωγε μὲν τοίνυν ὁρῶ	Or moi-du-moins je vois
παρὰ πᾶσι τοῖς ἄλλοις ἀνθρώποις	chez tous les autres hommes
τὰ τοιαῦτα διωρισμένα	les choses telles ayant-été-déterminées
καὶ τεταγμένα	et ayant-été-réglées
οὕτω πως.	ainsi en-quelque-sorte.
Τὶς ἀδικεῖ ἑκών;	Quelqu'un fait-il-injustice volontaire?
ὀργὴ καὶ τιμωρία κατὰ αὐτοῦ·	colère et châtiment contre lui;
τὶς ἐξήμαρτεν ἄκων;	quelqu'un a-t-il failli involontaire?
συγγνώμη τούτῳ	pardon à celui-ci
ἀντὶ τῆς τιμωρίας.	en-place du châtiment.
Τὶς οὔτε ἀδικῶν,	Quelqu'un et ne faisant pas injustice
οὔτε ἐξαμαρτάνων,	et ne se trompant pas,
δοὺς ἑαυτὸν	ayant-donné lui-même
εἰς τὰ δοκοῦντα πᾶσι	pour les choses paraissant à tous
συμφέρειν,	être-utiles,
οὐ κατώρθωσε μετὰ ἁπάντων;	n'a-t-il pas réussi avec tous?
οὐ δίκαιον	*il* n'*est* pas juste
ὀνειδίζειν	de faire-des-reproches
οὐδὲ λοιδορεῖσθαι τῷ τοιούτῳ,	ni d'invectiver *contre* le tel *homme*,
ἀλλὰ συνάχθεσθαι.	mais de s'affliger-avec *lui*.
Πάντα τοίνυν ταῦτα	Or toutes ces choses
φανήσεται οὕτως,	seront-évidentes ainsi,
οὐ μόνον ἐν τοῖς νομίμοις,	non seulement dans les coutumes,
ἀλλὰ καὶ ἡ φύσις αὐτὴ	mais encore la nature même
διώρικε	*les* a déterminées
τοῖς νόμοις ἀγράφοις	*dans* les lois non-écrites
καὶ τοῖς ἤθεσιν ἀνθρωπίνοις.	et les caractères humains.
Αἰσχίνης τοίνυν	Eschine donc
ὑπερβέβληκε τοσοῦτον	a surpassé si-grandement
πάντας ἀνθρώπους	tous les hommes
ὠμότητι καὶ συκοφαντίᾳ,	*en* cruauté et calomnie,
ὥστε κατηγορεῖ ἐμοῦ	qu'il reproche à moi
καὶ ταῦτα ὧν αὐτὸς	même ces choses que lui-même
ἐμέμνητο ὡς ἀτυχημάτων.	rappelait comme malheurs.
Καὶ πρὸς τοῖς ἄλλοις,	Et outre les autres choses,
ὥσπερ αὐτὸς	comme lui-même
εἰρηκὼς πάντας τοὺς λόγους,	ayant-dit tous les discours
ἁπλῶς καὶ μετὰ εὐνοίας,	simplement et avec bienveillance
ἐκέλευε	engageait *vous*
φυλάττειν ἐμὲ	à prendre-garde-à moi
καὶ τηρεῖν,	et à observer,

ὅπως μὴ παρακρούσομαι μηδ' ἐξαπατήσω, δεινόν, καὶ γόητα, καὶ σοφιστήν, καὶ τὰ τοιαῦτ' ὀνομάζων· ὡς, ἐὰν πρότερός τις εἴπῃ τὰ προσόντ' ἑαυτῷ περὶ ἄλλου, καὶ δὴ ταῦθ' οὕτως ἔχοντα, καὶ οὐκέτι τοὺς ἀκούοντας σκεψομένους τίς ποτ' αὐτός ἐστιν ὁ ταῦτα λέγων. Ἐγὼ δ' οἶδ' ὅτι γιγνώσκετε τοῦτον ἅπαντες, καὶ πολὺ τούτῳ μᾶλλον ἢ ἐμοὶ νομίζετε ταῦτα προσεῖναι. Κἀκεῖνο δ' εὖ οἶδ', ὅτι τὴν ἐμὴν δεινότητα (ἔστω γάρ· καίτοι ἔγωγ' ὁρῶ τῆς τῶν λεγόντων δυνάμεως τοὺς ἀκούοντας τὸ πλεῖστον μέρος κυρίους ὄντας· ὡς γὰρ ἂν ὑμεῖς ἀποδέξησθε, καὶ πρὸς ἕκαστον ἔχητ' εὐνοίας, οὕτως ὁ λέγων ἔδοξε φρονεῖν)· εἰ δ' οὖν ἐστὶ καὶ παρ' ἐμοί τις ἐμπειρία τοιαύτη, ταύτην μὲν εὑρήσετε πάντες ἐν τοῖς κοινοῖς ἐξεταζομένην ὑπὲρ ὑμῶν ἀεί,

donnant les noms d'imposteur, de fourbe, de sophiste, et autres semblables, il vous exhorte à prendre garde que je ne vous trompe et ne vous séduise : comme s'il suffisait de faire les premiers des reproches qui nous conviennent, pour que ces reproches soient fondés, et pour que ceux qui les entendent n'examinent point d'où ils sont partis. Pour moi, je sais qu'Eschine vous est connu, et que vous le jugez plus digne qu'un autre des noms odieux qu'il me donne. Je sais aussi que mon éloquence (je passe le mot, quoique le pouvoir d'un orateur dépende en grande partie des dispositions de ceux qui l'écoutent, et qu'il paraisse habile à proportion de l'accueil que vous lui faites et de la bienveillance que vous lui témoignez); mais enfin, si j'ai quelque talent, on verra que je l'ai toujours exercé pour vous dans les affaires publiques, et jamais contre vous, même dans les causes particulières.

ὅπως μὴ παρακρούσομαι	afin-que je ne séduise pas
μηδὲ ἐξαπατήσω,	et ne trompe pas,
ὀνομάζων δεινόν,	nommant *moi* fourbe,
καὶ γόητα, καὶ σοφιστήν,	et imposteur, et sophiste,
καὶ τὰ τοιαῦτα·	et les noms tels;
ὡς, ἐάν τις εἴπῃ πρότερος	comme, si quelqu'un disait le premier
περὶ ἄλλου	sur un autre
τὰ προσόντα ἑαυτῷ,	les choses s'appliquant à lui-même,
καὶ δὴ ταῦτα	et certes ces choses
ἔχοντα οὕτω,	se trouvant ainsi,
καὶ τοὺς ἀκούοντας	et ceux entendant
οὐκέτι σκεψομένους	ne devant plus examiner
τίς ποτέ ἐστιν αὐτὸς	quel enfin est lui-même
ὁ λέγων ταῦτα.	celui disant ces choses.
Ἐγὼ δὲ οἶδα ὅτι πάντες	Mais moi je sais que tous
γιγνώσκετε τοῦτον,	vous connaissez celui-ci,
καὶ νομίζετε ταῦτα	et pensez ces *noms*
προσεῖναι τούτῳ	s'appliquer à lui
πολὺ μᾶλλον ἢ ἐμοί.	beaucoup plus qu'à moi.
Οἶδα δὲ εὖ καὶ ἐκεῖνο,	Mais je sais bien aussi cela,
ὅτι τὴν δεινότητα ἐμήν	que l'habileté mienne
(ἔστω γάρ·	(car soit;
καίτοι ἔγωγε ὁρῶ	cependant moi-certes je vois
τοὺς ἀκούοντας	ceux écoutant
ὄντας κυρίους	étant maîtres
τὸ πλεῖστον μέρος	*en* la plus grande partie
τῆς δυνάμεως	de la puissance
τῶν λεγόντων·	de ceux parlant;
ὁ γὰρ λέγων	car celui parlant
ἔδοξε φρονεῖν οὕτως	a paru avoir-du-sens ainsi
ὡς ὑμεῖς ἂν ἀποδέξησθε,	comme vous vous aurez accueilli,
καὶ ἔχητε εὐνοίας	et aurez de bienveillance
πρὸς ἕκαστον)·	envers chacun);
εἰ δὲ οὖν	mais si donc
τις ἐμπειρία τοιαύτη	quelque expérience telle
ἐστὶ καὶ παρὰ ἐμοί,	est aussi chez moi,
πάντες μὲν εὑρήσετε ταύτην	tous vous trouverez celle-ci
ἐξεταζομένην	étant-essayée
ἐν τοῖς κοινοῖς	dans les affaires communes
ὑπὲρ ὑμῶν ἀεί,	pour vous toujours,

καὶ οὐδαμοῦ καθ' ὑμῶν, οὐδ' ἰδίᾳ· τὴν δὲ τούτου τοὐναντίον, οὐ μόνον τῷ λέγειν ὑπὲρ τῶν ἐχθρῶν, ἀλλὰ καὶ εἴ τις ἐλύπησέ τι τοῦτον, ἢ προσέκρουσέ που, κατὰ τούτων. Οὐ γὰρ αὐτῇ δικαίως, οὐδ' ἐφ' ἃ συμφέρει τῇ πόλει, χρῆται. Οὔτε γὰρ τὴν ὀργήν, οὔτε τὴν ἔχθραν, οὔτ' ἄλλο οὐδὲν τῶν τοιούτων, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ τοὺς ὑπὲρ τῶν κοινῶν εἰσεληλυθότας δικαστὰς ἀξιοῦν αὐτῷ βεβαιοῦν, οὐδ' ὑπὲρ τούτων εἰς ὑμᾶς εἰσιέναι· ἀλλὰ μάλιστα μὲν μὴ ἔχειν ταῦτ' ἐν τῇ φύσει· εἰ δ' ἄρ' ἀνάγκη, πράως καὶ μετρίως διακείμενα ἔχειν. Ἐν τίσιν οὖν σφοδρὸν εἶναι τὸν πολιτευόμενον καὶ τὸν ῥήτορα δεῖ; ἐν οἷς τῶν ὅλων τι κινδυνεύεται τῇ πόλει, καὶ ἐν οἷς πρὸς τοὺς ἐναντίους ἐστί τι τῷ δήμῳ· ταῦτα γὰρ γενναίου καὶ ἀγαθοῦ πολίτου. Μηδενὸ-

Pour Eschine, toujours prêt à parler en faveur de vos ennemis, et contre tout citoyen avec lequel il a eu quelque démêlé, ou qui a eu le malheur de lui déplaire, il n'emploie son éloquence ni pour la justice, ni pour le bien général. Cependant un citoyen vertueux ne doit pas demander aux juges qui viennent prononcer sur des causes d'intérêt public de servir sa colère, sa haine, ses passions; il ne doit jamais monter à la tribune conduit par de tels motifs; mais s'efforcer de les bannir de son cœur, et les modérer du moins, s'il ne peut les étouffer complètement. Dans quelles occasions un orateur, un ministre doit-il donc déployer toute sa véhémence? C'est lorsque la patrie est exposée à de grands périls, ou que le peuple a de grands intérêts à discuter avec les ennemis. Voilà les occasions où se montre

καὶ οὐδαμοῦ κατὰ ὑμῶν,
οὐδὲ ἰδίᾳ·
τὴν δὲ τούτου
τὸ ἐναντίον,
οὐ μόνον τῷ λέγειν
ὑπὲρ τῶν ἐχθρῶν,
ἀλλὰ καὶ εἴ τις
ἐλύπησε τοῦτόν τι,
ἢ προσέκρουσέ που,
κατὰ τούτων.
Οὐ γὰρ χρῆται αὐτῇ δικαίως,
οὐδὲ ἐπὶ ἃ
συμφέρει τῇ πόλει
Οὔτε γὰρ δεῖ τὸν πολίτην
καλὸν καὶ ἀγαθὸν
ἀξιοῦν τοὺς δικαστὰς
εἰσεληλυθότας
ὑπὲρ τῶν κοινῶν
βεβαιοῦν αὐτῷ τὴν ὀργήν,
οὔτε τὴν ἔχθραν,
οὔτε οὐδὲν τῶν τοιούτων,
οὐδὲ εἰσιέναι εἰς ὑμᾶς
ὑπὲρ τούτων·
ἀλλὰ μάλιστα μὲν
μὴ ἔχειν ταῦτα
ἐν τῇ φύσει·
εἰ δὲ ἄρα ἀνάγκη,
ἔχειν διακείμενα
πράως καὶ μετρίως.
Ἐν τίσιν οὖν
δεῖ τὸν πολιτευόμενον
καὶ τὸν ῥήτορα εἶναι σφοδρόν;
ἐν οἷς
τὶ τῶν ὅλων
κινδυνεύεται τῇ πόλει,
καὶ ἐν οἷς
τὶ ἐστ' τῷ δήμῳ
πρὸς τοὺς ἐναντίους
ταῦτα γὰρ πολίτου
γενναίου καὶ ἀγαθοῦ.

et nulle-part contre vous,
pas-même en-particulier;
mais celle de celui-ci
au contraire,
non seulement *dans* le parler
pour les ennemis,
mais encore si quelqu'un
a offensé lui *en* quelque chose,
ou *l'*a heurté quelque-part,
contre ceux-ci.
Car il n'use pas d'elle justement.
ni pour *les choses* qui
sont-utiles à la ville.
Car il ne faut pas le citoyen
honnête et bon
demander aux juges
étant-entrés
pour les affaires publiques
d'affermir à lui la colère,
ni la haine,
ni aucune des choses telles,
ni venir vers vous
pour ces *passions;*
mais le-plus *possible*
ne pas avoir elles
dans le naturel;
mais si donc nécessité *est,*
avoir *elles* étant-disposées
doucement et modérément.
Dans quelles *circonstances* donc
faut-il celui administrant
et l'orateur être véhément?
dans celles dans lesquelles
quelque chose du tout
est-mis-en-danger *pour* la ville,
et dans lesquelles
quelque chose est au peuple
contre les adversaires;
car ces choses *sont* d'un citoyen
noble et bon.

δὲ ἀδικήματος πώποτε δημοσίου, προςθήσω δὲ μηδ' ἰδίου, δίκην ἀξιώσαντα λαβεῖν παρ' ἐμοῦ, μήθ' ὑπὲρ τῆς πόλεως, μήθ' ὑπὲρ αὐτοῦ, στεφάνου καὶ ἐπαίνου κατηγορίαν νῦν ἥκειν συνεσκευασμένον, καὶ τοσουτουσὶ λόγους ἀνηλωκέναι, ἰδίας ἔχθρας, φθόνου καὶ μικροψυχίας ἐστὶ σημεῖον, οὐδενὸς χρηστοῦ· τὸ δὲ δὴ καὶ τοὺς πρὸς ἐμαυτὸν ἀγῶνας ἐάσαντα, νῦν ἐπὶ τόνδ' ἥκειν, καὶ πᾶσαν ἔχει κακίαν.

Καὶ ἔμοιγε δοκεῖς ἐκ τούτων, Αἰσχίνη, λόγων ἐπίδειξίν τινα καὶ φωνασκίας βουλόμενος ποιήσασθαι, τοῦτον προελέσθαι τὸν ἀγῶνα, οὐκ ἀδικήματος οὐδενὸς λαβεῖν τιμωρίαν. Ἔστι δ' οὐχ ὁ λόγος τοῦ ῥήτορος, Αἰσχίνη, τίμιον, οὐδ' ὁ τόνος τῆς φωνῆς, ἀλλὰ τὸ ταὐτὰ προαιρεῖσθαι τοῖς πολλοῖς, καὶ τὸ τοὺς αὐτοὺς καὶ μισεῖν καὶ φιλεῖν οὕςπερ ἂν ἡ πατρίς. Ὁ γὰρ οὕτως ἔχων τὴν ψυχήν, οὗτος ἐπ' εὐνοίᾳ πάντ' ἐρεῖ. Ὁ δ' ἀφ' ὧν ἡ πόλις προο-

le bon citoyen. Mais, sans avoir jamais poursuivi aucun crime dans ma vie publique, j'ajouterai, ni dans ma vie privée, soit au nom de l'État, soit en son nom propre, m'accuser aujourd'hui sur la proclamation d'une couronne, s'épuiser à ce sujet en longs discours, c'est annoncer la haine, la jalousie, la bassesse, tout ce qu'il y a de plus odieux; attaquer Ctésiphon, sans m'avoir jamais attaqué directement, c'est le dernier excès de la malice.

Vos déclamations, Eschine, me feraient croire que vous avez entrepris cette cause, non pour demander justice de quelques délits, mais pour faire parade d'une belle voix. Ce ne sont, néanmoins, ni les agréments du discours ni la beauté de la voix qu'on estime dans un orateur; mais cette conformité de vues et de sentiments avec la république, qui lui fait aimer et détester ceux qu'elle aime et ceux qu'elle déteste. L'orateur animé de cet esprit dit tout par dévouement; celui,

Ἀξιώσαντα δὲ πώποτε	Mais *n'*ayant-jugé-convenable jamais
λαβεῖν παρὰ ἐμοῦ δίκην	de prendre de moi justice
μηδενὸς ἀδικήματος δημοσίου,	d'aucun délit public,
προςθήσω δὲ μηδὲ ἰδίου,	et j'ajouterai ni privé,
μήτε ὑπὲρ τῆς πόλεως,	ni pour la ville,
μήτε ὑπὲρ αὐτοῦ,	ni pour lui-même,
ἥκειν νῦν	venir maintenant
συνεσκευασμένον κατηγορίαν	ayant-préparé une accusation
στεφάνου καὶ ἐπαίνου,	de couronne et d'éloge,
καὶ ἀνηλωκέναι	et avoir-dépensé
τοσουτουσὶ λόγους,	de si-longs discours,
ἔστι σημεῖον ἔχθρας ἰδίας	est signe d'une haine particulière
καὶ φθόνου καὶ μικροψυχίας,	et d'envie et de petitesse-d'âme,
οὐδενὸς χρηστοῦ·	de rien d'honnête;
τὸ δὲ δὴ καὶ ἥκειν	mais certes aussi le venir
ἐπὶ τόνδε νῦν,	contre celui-ci maintenant,
ἐάσαντα	ayant-laissé
τοὺς ἀγῶνας πρὸς ἐμαυτόν,	les luttes envers moi-même,
ἔχει καὶ πᾶσαν κακίαν.	a aussi toute méchanceté.
Καὶ δοκεῖς ἔμοιγε,	Et tu parais à moi du-moins,
Αἰσχίνη, ἐκ τούτων,	Eschine, d'après cela,
προελέσθαι τοῦτον τὸν ἀγῶνα,	avoir-choisi cette lutte,
βουλόμενος ποιήσασθαι	voulant faire
τινὰ ἐπίδειξιν λόγων	une certaine parade de discours
καὶ φωνασκίας,	et d'exercice-de-voix,
οὐ λαβεῖν τιμωρίαν	non prendre châtiment
οὐδενὸς ἀδικήματος.	d'aucun délit.
Ὁ δὲ λόγος τοῦ ῥήτορος, Αἰσχίνη,	Mais la parole de l'orateur, Eschine,
οὐκ ἔστι τίμιον,	n'est pas chose honorable,
οὐδὲ ὁ τόνος τῆς φωνῆς,	ni le ton de la voix,
ἀλλὰ τὸ προαιρεῖσθαι	mais le préférer
τὰ αὐτὰ τοῖς πολλοῖς	les mêmes choses *que* les nombreux,
καὶ τὸ καὶ μισεῖν καὶ φιεῖν	et le et haïr et aimer
τοὺς αὐτοὺς	les mêmes
οὕςπερ ἂν ἡ πατρίς.	que la patrie.
Ὁ γὰρ ἔχων οὕτω	Car celui étant-disposé ainsi
τὴν ψυχήν,	*quant* à l'âme,
οὗτος ἐρεῖ πάντα	celui-ci dira toutes choses
ἐπὶ εὐνοίᾳ.	par bienveillance.
Ὁ δὲ θεραπεύων τουτουσ	Mais celui flattant ceux

ρᾶταί τινα κίνδυνον ἑαυτῇ, τούτους θεραπεύων, οὐκ ἐπὶ τῆς αὐτῆς ὁρμεῖ τοῖς πολλοῖς· οὐκοῦν οὐδὲ τῆς ἀσφαλείας τὴν αὐτὴν ἔχει προσδοκίαν. Ἀλλ' (ὁρᾷς;) ἐγώ· ταὐτὰ γὰρ συμφέρονθ' εἱλόμην τουτοισί, καὶ οὐδὲν ἐξαίρετον οὐδ' ἴδιον πεποίημαι. Ἆρ' οὖν οὐδὲ σύ; καὶ πῶς; ὃς εὐθέως μετὰ τὴν μάχην πρεσβευτὴς ἐπορεύου πρὸς Φίλιππον, ὃς ἦν τῶν ἐν ἐκείνοις τοῖς χρόνοις συμφορῶν αἴτιος τῇ πατρίδι· καὶ ταῦτ', ἀρνούμενος πάντα τὸν ἔμπροσθεν χρόνον ταύτην τὴν χρείαν, ὡς πάντες ἴσασι. Καίτοι τίς ὁ τὴν πόλιν ἐξαπατῶν; οὐχ ὁ μὴ λέγων ἃ φρονεῖ; τῷ δ' ὁ κήρυξ καταρᾶται καθ' ἑκάστην ἐκκλησίαν δικαίως; οὐ τῷ τοιούτῳ; τί δὲ μεῖζον ἔχοι τις ἂν εἰπεῖν ἀδίκημα κατ' ἀνδρὸς ῥήτορος, ἢ εἰ μὴ ταὐτὰ καὶ φρονεῖ καὶ λέγει; Σὺ τοίνυν οὗτος εὑρέθης.

Εἶτα σὺ φθέγγῃ, καὶ βλέπειν εἰς τὰ τουτωνὶ πρόσωπα τολ-

au contraire, qui flatte les ennemis dont la république se voit menacée, ne tient pas aux mêmes espérances, et par conséquent n'attend pas son salut du même endroit que le peuple. Mais, le vois-tu? je ne séparai jamais mes intérêts de ceux de l'État, et je n'ai rien fait à part. Ni moi non plus, direz-vous. Le pouvez-vous dire? vous, Eschine, qui, aussitôt après le combat, partîtes en ambassade vers Philippe, l'auteur de toutes nos disgrâces, quoique jusqu'alors vous eussiez toujours refusé cette commission, comme personne ne l'ignore. Mais, je vous, le demande, quel est le citoyen qui trompe la république? N'est-ce pas celui qui parle autrement qu'il ne pense? Quel est le citoyen à qui s'adressent les imprécations prononcées par le héraut dans chaque assemblée? N'est-ce pas à un tel homme? Quoi de plus criminel, en effet, dans un orateur, que de parler contre ses propres sentiments! Vous avez été convaincu d'avoir agi de la sorte.

Après cela, vous parlez encore, et vous osez regarder vos concitoyens

ἐπὶ ὧν ἡ πόλις προορᾶται	de-la-part desquels la ville prévoit
τινὰ κίνδυνον ἑαυτῇ,	quelque danger *pour* elle-même,
οὐχ ὁρμεῖ ἐπὶ τῆς αὐτῆς	ne s'appuie pas sur la même *ancre*
τοῖς πολλοῖς·	*que* les nombreux;
οὐκοῦν οὐδὲ ἔχει	en conséquence il n'a pas non plus
τὴν αὐτὴν προσδοκίαν	la même attente
τῆς ἀσφαλείας.	de la sûreté.
Ἀλλὰ (ὁρᾷς;) ἐγώ·	Mais (vois-tu?) moi;
εἱλόμην γὰρ	car j'ai choisi
τὰ αὐτὰ συμφέροντα τουτοισί,	les mêmes intérêts *que* ceux-ci,
καὶ πεποίημαι οὐδὲν	et ne me-suis-fait rien
ἐξαίρετον οὐδὲ ἴδιον.	de spécial ni de particulier.
Ἆρα οὖν οὐδὲ σύ;	Est-ce que donc ni toi?
καὶ πῶς;	et comment?
ὃς εὐθέως μετὰ τὴν μάχην	*toi* qui aussitôt après le combat
ἐπορεύου πρεσβευτὴς	partis *comme* député
πρὸς Φίλιππον,	vers Philippe,
ὃς ἦν αἴτιος τῇ πατρίδι	qui était cause *pour* la patrie
τῶν συμφορῶν	des malheurs
ἐν ἐκείνοις τοῖς χρόνοις· καὶ ταῦτα,	dans ces temps-là; et cela,
ἀρνούμενος ταύτην τὴν χρείαν	refusant cet emploi
πάντα τὸν χρόνον ἔμπροσθεν,	tout le temps auparavant,
ὡς πάντες ἴσασι.	comme tous savent.
Καίτοι τίς	Cependant qui *est*
ὁ ἐξαπατῶν τὴν πόλιν;	celui trompant la ville?
οὐχ ὁ μὴ λέγων	n'*est-ce* pas celui ne disant pas
ἃ φρονεῖ;	*les choses* qu'il pense?
τῷ δὲ ὁ κήρυξ	et à qui le héraut
καταρᾶται δικαίως	fait-il-des-imprécations justement
κατὰ ἑκάστην ἐκκλησίαν;	dans chaque assemblée?
οὐ τῷ τοιούτῳ;	n'*est-ce* pas au tel?
τί δὲ ἀδίκημα μεῖζον	et quel délit plus-grand
τὶς ἂν ἔχοι εἰπεῖν	quelqu'un aurait-il à dire
κατὰ ἀνδρὸς ῥήτορος,	contre un homme orateur,
ἢ εἰ μὴ καὶ φρονεῖ	que et s'il ne pense pas
καὶ λέγει τὰ αὐτά;	et *ne* dit *pas* les mêmes choses?
Σὺ τοίνυν εὑρέθης οὗτος.	Toi donc tu as-été-trouvé celui-ci (tel)
Εἶτα σὺ φθέγγῃ,	Ensuite toi tu parles,
καὶ τολμᾷς βλέπειν	et oses regarder
εἰς τὰ πρόσωπα τουτωνί!	vers les visages de ceux-ci!

μᾶς! Πότερ' οὐχ ἡγεῖ γινώσκειν αὐτοὺς ὅστις εἶ; ἢ τοσοῦτον ὕπνον καὶ λήθην ἅπαντας ἔχειν ὥστ' οὐ μεμνῆσθαι τοὺς λόγους οὓς ἐδημηγόρεις ἐν τῷ δήμῳ, καταρώμενος καὶ διομνύμενος μηδὲν εἶναί σοι καὶ Φιλίππῳ πρᾶγμα, ἀλλ' ἐμὲ τὴν αἰτίαν σοι ταύτην ἐπάγειν, τῆς ἰδίας ἕνεκ' ἔχθρας, οὐκ οὖσαν ἀληθῆ; Ὡς δ' ἀπηγγέλθη τάχισθ' ἡ μάχη, οὐδὲν τούτων φροντίσας, εὐθὺς ὡμολόγεις καὶ προσεποιοῦ φιλίαν καὶ ξενίαν εἶναί σοι πρὸς αὐτόν, τῇ μισθαρνίᾳ ταῦτα μετατιθέμενος τὰ ὀνόματα. Ἐκ ποίας γὰρ ἴσης ἢ δικαίας προφάσεως Αἰσχίνῃ, τῷ Γλαυκοθέας τῆς τυμπανιστρίας, ξένος, ἢ φίλος, ἢ γνώριμος ἦν Φίλιππος; ἐγὼ μὲν οὐχ ὁρῶ· ἀλλ' ἐμισθώθης ἐπὶ τῷ τὰ τουτωνὶ συμφέροντα διαφθείρειν. Ἀλλ' ὅμως οὕτω φανερῶς αὐτὸς εἰλημμένος προδότης, καὶ κατὰ σαυτοῦ μηνυτὴς ἐπὶ

en face! Croyez-vous donc qu'ils ne sachent pas qui vous êtes? ou que le sommeil et l'oubli se soient emparés d'eux, au point qu'ils ne se souviennent pas des discours que vous leur débitiez à cette tribune, protestant, avec serment et imprécation sur vous-même, qu'il n'y avait aucune liaison entre vous et Philippe; que la haine seule, et non la vérité, me portait à vous faire ce reproche? Cependant, à la première nouvelle de la défaite, oubliant toutes vos protestations, vous vous disiez publiquement l'hôte et l'ami de ce prince, noms dont vous décoriez vos honteux trafics. En effet, à quel titre réel ou légitime, Eschine, fils de Glaucothée, la joueuse de tambourin, aurait-il été hôte, ami ou simple connaissance de Philippe, roi de Macédoine? Pour moi, je ne le vois pas; mais je vois que vous avez été salarié pour livrer les intérêts de vos concitoyens. Convaincu de trahison par des preuves évidentes et par le témoignage accusateur de votre conduite, vous m'accable

Πότερα οὐχ ἡγεῖ	Est-ce que tu ne penses pas
αὐτοὺς γινώσκειν ὅστις εἶ;	eux connaître qui tu es?
ἢ τοσοῦτον ὕπνον καὶ λήθην	ou un si-grand sommeil et oubli
ἔχειν ἅπαντας	posséder tous
ὥστε οὐ μεμνῆσθαι	au-point-de ne pas se rappeler
τοὺς λόγους οὓς ἐδημηγόρεις	les discours que tu prononçais
ἐν τῷ δήμῳ,	devant le peuple,
καταρώμενος	affirmant-avec-imprécation
καὶ διομνύμενος	et disant-avec-serment
μηδὲν πρᾶγμα εἶναι	aucune affaire n'être
σοὶ καὶ Φιλίππῳ,	à toi et à Philippe,
ἀλλὰ ἐμὲ ἐπάγειν σοι	mais moi amener-sur toi
ταύτην τὴν αἰτίαν,	cette imputation,
οὐκ οὖσαν ἀληθῆ,	n'étant pas vraie,
ἕνεκα τῆς ἔχθρας ἰδίας;	à-cause de la haine particulière?
Ὡς τάχιστα δὲ	Mais tout-aussitôt que
ἡ μάχη ἀπηγγέλθη,	le combat eut-été-annoncé,
φροντίσας οὐδὲν τούτων,	ne t'inquiétant d'aucune de ces choses,
εὐθὺς ὡμολόγεις	aussitôt tu avouais
καὶ προσεποιοῦ	et affectais
φιλίαν καὶ ξενίαν	amitié et hospitalité
εἶναί σοι πρὸς αὐτόν,	être à toi envers lui,
μετατιθέμενος	transportant
ταῦτα τὰ ὀνόματα	ces noms
τῇ μισθαρνίᾳ.	à la vénalité.
Ἐκ ποίας γὰρ προφάσεως,	Car d'après quel motif,
ἴσης ἢ δικαίας,	égal ou juste,
Φίλιππος ἦν ξένος,	Philippe était-il hôte,
ἢ φίλος, ἢ γνώριμος	ou ami, ou connaissance
Αἰσχίνῃ, τῷ Γλαυκοθέας,	pour Eschine, le *fils* de Glaucothée,
τῆς τυμπανιστρίας;	la joueuse-de-tambourin?
ἐγὼ μὲν οὐχ ὁρῶ·	moi certes je ne vois pas;
ἀλλὰ ἐμισθώθης	mais tu as-été-salarié
ἐπὶ τῷ διαφθείρειν	pour le perdre
τὰ συμφέροντα τουτωνί.	les intérêts de ceux-ci.
Ἀλλὰ ὅμως αὐτὸς	Mais cependant toi-même
εἰλημμένος προδότης	ayant-été-pris traître
οὕτω φανερῶς,	tellement évidemment,
καὶ γεγονὼς	et étant-devenu
μηνυτὴς κατὰ σαυτοῦ	dénonciateur contre toi-même

τοῖς συμβᾶσι γεγονώς, ἐμοὶ λοιδορεῖ, καὶ ὀνειδίζεις ταῦτα, ὧν πάντας μᾶλλον αἰτίους εὑρήσεις.

Πολλὰ καὶ καλὰ καὶ μεγάλα ἡ πόλις, Αἰσχίνη, καὶ προείλετο καὶ κατώρθωσε δι' ἐμοῦ, ὧν οὐκ ἠμνημόνησε. Σημεῖον δέ. Χειροτονῶν γὰρ ὁ δῆμος τὸν ἐροῦντ' ἐπὶ τοῖς τετελευτηκόσι παρ' αὐτὰ τὰ συμβάντα, οὐ σὲ ἐχειροτόνησε προβληθέντα, οὐ σέ, καίπερ εὔφωνον ὄντα, οὐδὲ Δημάδην, ἄρτι πεποιηκότα τὴν εἰρήνην, οὐδ' Ἡγήμονα, οὐδ' ἄλλον ὑμῶν οὐδένα, ἀλλ' ἐμέ. Καὶ παρελθόντος σοῦ, καὶ Πυθοκλέους, ὠμῶς καὶ ἀναιδῶς, ὦ Ζεῦ καὶ θεοί, καὶ κατηγορούντων ἐμοῦ ταὐτὰ ἃ καὶ σὺ νυνί, καὶ λοιδορουμένων, ἔτ' ἄμεινον ἐχειροτόνησεν ἐμέ. Τὸ δ' αἴτιον οὐκ ἀγνοεῖς μέν, ὅμως δὲ φράσω σοι κἀγώ. Ἀμφότερ' ἤδεσαν οὗτοι,

res, vous me reprochez des malheurs dont il faudrait m'accuser moins que tout autre.

C'est d'après mes conseils, Eschine, que la république résolut et qu'elle exécuta de grandes choses ; elle ne l'avait pas oublié : en voici la preuve. Lorsque, immédiatement après notre infortune, il fallut choisir l'orateur qui devait prononcer l'éloge des héros morts pour la patrie, le peuple ne vous choisit pas malgré votre belle voix, il ne vous choisit pas, vous qu'on avait proposé ; il ne choisit pas Démade, qui venait de conclure la paix, ni Hégémon, ni aucun de vous : ce fut sur moi seul qu'il jeta les yeux. Et lorsque vous vous êtes présenté, Pythoclès et vous, pour vomir contre moi, avec quelle fureur et avec quelle impudence, juste ciel ! les griefs et les invectives que vous renouvelez en ce jour ; le peuple n'en fut que plus ardent à confirmer son choix. Quoique vous n'en puissiez ignorer le motif, je vais cependant vous le dire. Les Athéniens connaissaient mon zèle et mon

ἐπὶ τοῖς συμβᾶσι,	au-sujet des choses étant-arrivées,
λοιδορεῖ ἐμοί,	tu injuries moi,
καὶ ὀνειδίζεις ταῦτα,	et *me* reproches ces choses,
ὧν εὑρήσεις πάντας	dont tu trouveras tous
μᾶλλον αἰτίους.	plutôt causes.
Ἡ πόλις καὶ προείλετο	La ville et préféra
καὶ κατώρθωσε	et conduisit-heureusement
διὰ ἐμοῦ, Αἰσχίνη,	par moi, Eschine,
πολλὰ	des choses nombreuses
καὶ καλὰ καὶ μεγάλα,	et belles et grandes,
ὧν οὐκ ἠμνημόνησε.	qu'elle n'a pas oubliées.
Σημεῖον δέ.	Et *en voici* la preuve.
Ὁ δῆμος γὰρ χειροτονῶν	Car le peuple choisissant
τὸν ἐροῦντα	celui devant-parler
ἐπὶ τοῖς τετελευτηκόσι,	sur ceux ayant-fini *leur vie*,
παρὰ τὰ συμβάντα	pendant les choses étant-arrivées
αὐτά,	elles-mêmes,
οὐκ ἐχειροτόνησε σὲ	n'élut pas toi
προβληθέντα,	ayant-été-proposé,
οὐ σέ, καίπερ ὄντα	non toi, quoique étant
εὔφωνον,	beau-quant-à-la-voix,
οὐδὲ Δημάδην,	ni Démade,
πεποιηκότα	ayant-fait
ἄρτι τὴν εἰρήνην,	récemment la paix,
οὐδὲ Ἡγήμονα [101],	ni Hégémon,
οὐδὲ οὐδένα ἄλλον ὑμῶν,	ni aucun autre de vous,
ἀλλὰ ἐμέ.	mais moi.
Καὶ σοῦ παρελθόντος,	Et toi t'étant-avancé,
καὶ Πυθοκλέους,	et Pythoclès,
ὠμῶς καὶ ἀναιδῶς,	cruellement et impudemment,
ὦ Ζεῦ καὶ θεοί,	ô Jupiter et dieux
καὶ κατηγορούντων ἐμοῦ	et reprochant à moi
τὰ αὐτὰ	les mêmes choses
ἃ καὶ σὺ νυνί,	que aussi toi maintenant,
καὶ λοιδορουμένων,	et invectivant,
ἐχειροτόνησεν ἐμὲ ἔτι ἄμεινον.	il élut moi encore mieux.
Οὐ δὲ ἀγνοεῖς μὲν τὸ αἴτιον,	Or tu n'ignores pas la cause,
ὅμως δὲ καὶ ἐγὼ	mais cependant aussi moi
φράσω σοι.	je *la* dirai à toi.
Οὗτοι ἤδεσαν ἀμφότερα,	Ceux-ci savaient deux choses,

τὴν τ' ἐμὴν εὔνοιαν καὶ προθυμίαν, μεθ' ἧς τὰ πράγματ' ἔπραττον, **καὶ** τὴν **ὑμετέραν** ἀδικίαν. Ἃ γὰρ εὐθηνούντων τῶν πραγμάτων ἠρνεῖσθε διομνύμενοι, ταῦτ' ἐν οἷς ἔπταισεν ἡ πόλις, ὡμολογήσατε. Τοὺς οὖν ἐπὶ τοῖς κοινοῖς ἀτυχήμασιν ὧν ἐφρόνουν λαβόντας ἄδειαν, ἐχθροὺς μὲν πάλαι, φανεροὺς δὲ τότ' ἡγήσαντο αὐτοῖς γεγενῆσθαι. Εἶτα καὶ προσήκειν **ὑπελάμβανον τὸν ἐροῦντα** ἐπὶ τοῖς τετελευτηκόσι, καὶ **τὴν ἐκείνων ἀρετὴν κοσμήσοντα**, μήθ' ὁμωρόφιον, μήθ' ὁμόσπονδον **γεγενημένον εἶναι τοῖς πρὸς** ἐκείνους παραταξαμένοις· **μηδ' ἐκεῖ μὲν κωμάζειν καὶ παιανίζειν ἐπὶ ταῖς τῶν Ἑλλήνων συμφοραῖς** μετὰ **τῶν αὐτοχείρων τοῦ φόνου, δεῦρο δ'** ἐλθόντα **τιμᾶσθαι· μηδὲ τῇ φωνῇ** δακρύειν ὑποκρινόμενον **τὴν** ἐκείνων **τύχην**, ἀλλὰ τῇ ψυχῇ συναλγεῖν. Τοῦτο δ' ἑώρων παρ' ἑαυτοῖς, **καὶ** παρ' ἐμοί, παρ' ὑμῖν δ' οὔ. Διὰ ταῦτ' ἐμὲ ἐχειροτόνησαν, **καὶ οὐχ ὑμᾶς**. Καὶ οὐχ ὁ

intégrité; ils connaissaient vos iniquités et vos perfidies. Ces liaisons avec Philippe, que vous aviez toujours désavouées dans les prospérités de la patrie, vous en conveniez dans ses disgrâces. Ils pensaient donc que des hommes qui devaient à nos malheurs l'impunité de leurs conseils perfides, ennemis secrets depuis longtemps, n'avaient attendu que le moment pour se déclarer. Ils ne croyaient pas qu'on dût confier l'éloge de nos illustres morts à celui qu'on avait vu loger sous le même toit, et participer aux mêmes sacrifices que ceux contre qui ils avaient mesuré leurs armes; qu'on dût honorer dans Athènes des hommes qui, en Macédoine, avaient célébré la désolation de la Grèce, dans la joie et les festins, à la table des meurtriers de leurs compatriotes. Ils ne voulaient pas qu'on déplorât le sort de nos héros avec des larmes feintes, ni qu'on jouât la douleur, mais qu'on la ressentît réellement. Cette douleur sincère, ils la trouvaient dans leur cœur, dans le mien, non dans le vôtre; c'est pour cela qu'ils vous ont rejeté et qu'ils m'ont choisi. Les pères et les frères de nos

τὴν τε ἐμὴν εὔνοιαν	et la mienne bienveillance
καὶ προθυμίαν,	et volonté-de-cœur,
μετὰ ἧς ἔπραττον τὰ πράγματα,	avec laquelle je faisais les affaires,
καὶ τὴν ἀδικίαν ὑμετέραν.	et l'injustice vôtre.
Ὡμολογήσατε γὰρ	Car vous avez avoué
ἐν οἷς	*dans les occasions* dans lesquelles
ἡ πόλις ἔπταισε	la ville a échoué
ταῦτα **ἃ ἠρνεῖσθε**	ces choses que vous niiez
διομνύμενοι,	affirmant-par-serment,
τῶν πραγμάτων εὐθηνούντων.	les affaires étant-florissantes
Ἡγήσαντο οὖν	Il pensaient donc
τοὺς λαβόντας	ceux ayant-pris
ἐπὶ τοῖς ἀτυχήμασι κοινοῖς	dans les malheurs communs
ἄδειαν **ὧν ἐφρόνουν,**	l'impunité de ce qu'ils pensaient,
γεγενῆσθαι μὲν πάλαι ἐχθρούς,	avoir-été depuis-longtemps ennemis,
φανεροὺς δὲ αὐτοῖς τότε.	mais visibles à eux alors.
Εἶτα καὶ ὑπελάμβανον προσήκειν	Ensuite aussi ils pensaient convenir
τὸν ἐροῦντα	celui devant-parler
ἐπὶ τοῖς τετελευτηκόσι,	sur ceux ayant-fini *la vie*,
καὶ κοσμήσοντα	et devant louer
τὴν ἀρετὴν ἐκείνων,	la vertu d'eux,
εἶναι γεγενημένον	être *n'*ayant-été
μήτε ὁμωρόφιον,	ni habitant-sous-le-même-toit,
μήτε ὁμόσπονδον	ni faisant-des-sacrifices-avec
τοῖς παραταξαμένοις πρὸς ἐκείνους·	ceux s'étant-rangés contre ceux-là;
μηδὲ ἐκεῖ μὲν κωμάζειν	ni là-bas faire-des-orgies
καὶ παιανίζειν	et chanter-des-hymnes
ἐπὶ ταῖς συμφοραῖς τῶν Ἑλλήνων	sur les malheurs des Grecs
μετὰ τῶν **αὐτοχείρων τοῦ** φόνου,	avec les auteurs-mêmes du meurtre,
ἐλθόντα δὲ δεῦρο	et étant-venu ici
τιμᾶσθαι·	être-honoré;
μηδὲ ὑποκρινόμενον	ni feignant
δακρύειν τῇ φωνῇ	de pleurer *par* la voix
τὴν τύχην ἐκείνων,	le sort de ceux-là,
ἀλλὰ συναλγεῖν τῇ ψυχῇ.	mais partager-la douleur *dans* l'âme
Ἑώρων δὲ τοῦτο	Or ils voyaient cela
παρὰ ἑαυτοῖς, **καὶ παρὰ ἐμοί,**	chez eux-mêmes, et chez moi,
παρὰ ὑμῖν δὲ **οὔ.**	mais chez vous non
Διὰ ταῦτα **ἐχειροτόνησαν ἐμέ,**	Pour ces choses ils ont élu moi,
καὶ **οὐχ ὑμᾶς.**	et non vous.

μὲν δῆμος οὕτως, οἱ δὲ τῶν τετελευτηκότων πατέρες καὶ ἀδελφοί, ὑπὸ τοῦ δήμου τότε αἱρεθέντες ἐπὶ τὰς ταφάς, ἄλλως πως· ἀλλά, δέον ποιεῖν αὐτοὺς τὸ περίδειπνον ὡς παρ' οἰκειοτάτῳ τῶν τετελευτηκότων, ὥςπερ τἆλλ' εἴωθε γίγνεσθαι, τοῦτ' ἐποίησαν παρ' ἐμοί. Εἰκότως· γένει μὲν γὰρ ἕκαστος ἑκάστῳ μᾶλλον οἰκεῖος ἦν ἐμοῦ, κοινῇ δὲ πᾶσιν οὐδεὶς ἐγγυτέρω· ᾧ γὰρ τὸ ἐκείνους σωθῆναι καὶ κατορθῶσαι μάλιστα διέφερεν, οὗτος καὶ παθόντων, ἃ μή ποτ' ὤφελον, τῆς ὑπὲρ ἁπάντων λύπης πλεῖστον μετεῖχε.

Λέγε δ' αὐτῷ τουτὶ τὸ ἐπίγραμμα, ὃ δημοσίᾳ προείλετο ἡ πόλις αὐτοῖς ἐπιγράψαι, ἵν' εἰδῇς, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ, σαυτὸν ἀγνώμονα καὶ συκοφάντην ὄντα καὶ μιαρόν. Λέγε.

ΕΠΙΓΡΑΜΜΑ.

« Οἵδε, πάτρας ἕνεκα σφετέρας, εἰς δῆριν ἔθεντο

guerriers malheureux, chargés du soin des obsèques, me rendirent la même justice que le peuple. Il était d'usage que le banquet funèbre se fît chez le plus proche parent des morts ; ils le firent chez moi, et ils ne se sont point trompés; car si, par le sang, ils étaient plus unis à chacun d'eux en particulier, personne ne leur tenait de plus près que moi par les sentiments. Oui, sans doute, le plus intéressé à leur salut et à leur succès devait aussi pleurer le plus sur leurs malheurs; ah! que ne fussent-ils jamais arrivés!

Greffier, lisez à Eschine l'inscription dont le peuple voulut honorer leur mémoire; il faut que vous sachiez, par cette inscription même, que vous êtes un insensé, un misérable, un vil calomniateur. Lisez.

INSCRIPTION.

« Ces guerriers ont revêtu les armes pour la défense de leur patrie,

Καὶ οὐχ ὁ μὲν δῆμος οὕτως,
οἱ δὲ πατέρες καὶ ἀδελφοὶ
τῶν τετελευτηκότων
αἱρεθέντες τότε ὑπὸ τοῦ δήμου
ἐπὶ τὰς ταφὰς
ἄλλως πως·
ἀλλά, δέον αὐτοὺς
ποιεῖν τὸ περίδειπνον
παρὰ ὡς οἰκειοτάτῳ
τῶν τετελευτηκότων,
ὥςπερ τὰ ἄλλα
εἴωθε γίγνεσθαι,
ἐποίησαν τοῦτο παρὰ ἐμοί.
Εἰκότως· ἕκαστος μὲν γὰρ
ἦν μᾶλλον οἰκεῖος ἐμοῦ
ἑκάστῳ γένει,
οὐδεὶς δὲ ἐγγυτέρω
πᾶσι κοινῇ·
οὗτος γὰρ ᾧ
τὸ ἐκείνους σωθῆναι
καὶ κατορθῶσαι
διέφερε μάλιστα,
καὶ μετεῖχε πλεῖστον
τῆς λύπης ὑπὲρ ἁπάντων
παθόντων
ἃ ὤφελον μήποτε.
Λέγε δὲ αὐτῷ
τουτὶ τὸ ἐπίγραμμα
ὃ ἡ πόλις προείλετο δημοσίᾳ
ἐπιγράψαι αὐτοῖς,
ἵνα εἰδῇς, Αἰσχίνη,
καὶ ἐν τούτῳ αὐτῷ,
σαυτὸν ὄντα ἀγνώμονα
καὶ συκοφάντην καὶ μιαρόν.
Λέγε.

Et non le peuple ainsi,
mais les pères et frères
de ceux ayant-fini *la vie*
ayant-été-choisis alors par le peuple
pour les sépultures
autrement de-quelque-façon;
mais, étant-nécessaire eux
faire le repas-funèbre
chez le-plus-proche-parent
de ceux ayant-fini *la vie*,
comme les autres
ont-coutume de se faire,
ils firent celui-ci chez moi.
Avec-raison : car chacun
était plutôt parent *que* moi
à chacun *par* naissance,
mais aucun plus-près
de tous en-commun;
car celui à qui
le ceux-là avoir-été-sauvés
et avoir-réussi
importait le-plus,
aussi participait le-plus
à la douleur sur tous ceux
ayant-éprouvé *des choses*
qu'ils *ne* devaient jamais.
Mais dis à lui
cette inscription,
que la ville a décidé publiquement
d'inscrire *pour* eux,
afin-que tu voies, Eschine,
aussi dans cela même,
toi-même étant insensé
et calomniateur et impur
Dis.

ΕΠΙΓΡΑΜΜΑ.

« Οἵδε ἔθεντο ὅπλα
εἰς δῆριν,
ἕνεκα σφετέρας πάτρας

INSCRIPTION.

« Ceux-ci ont revêtu les armes
pour le combat,
en-faveur-de leur patrie,

ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν.
Μαρνάμενοι δ' ἀρετῆς καὶ λήματος, οὐκ ἐσάωσαν
ψυχάς, ἀλλ' Ἀΐδην κοινὸν ἔθεντο βράβην
οὕνεκεν Ἑλλήνων, ὡς μή, ζυγὸν αὐχένι θέντες
δουλοσύνης, στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.
Γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων
σώματ'· ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.
Μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν καὶ πάντα κατορθοῦν·
ἐν βιοτῇ μοῖραν δ' οὔτι φυγεῖν μερόπων. »

Ἀκούεις, Αἰσχίνη, καὶ ἐν αὐτῷ τούτῳ, ὡς τὸ μηδὲν ἁμαρτεῖν ἐστὶ θεῶν καὶ πάντα κατορθοῦν; οὐ τῷ συμβούλῳ τὴν τοῦ κατορθοῦν τοὺς ἀγωνιζομένους ἀνέθηκε δύναμιν, ἀλλὰ τοῖς θεοῖς. Τί οὖν, ὦ κατάρατ', ἐμοὶ περὶ τούτων λοιδορεῖ, καὶ λέγεις ἃ σοὶ καὶ τοῖς σοῖς οἱ θεοὶ τρέψειαν εἰς κεφαλήν;

et repoussé une insolente agression. Pleins de valeur dans le combat, ils ont sacrifié leur vie, et sont descendus chez Pluton, l'arbitre commun des hommes, pour écarter des Grecs le joug d'un honteux esclavage. Le sol de la patrie renferme dans son sein les dépouilles du plus grand nombre de ces héros, puisque telle est la loi que Jupiter a imposée aux hommes. Il n'appartient qu'aux dieux de ne faillir jamais et de réussir toujours; les mortels ne peuvent se soustraire à leur destinée. »

Entendez-vous, Eschine, ce que dit l'inscription, qu'il n'appartient qu'aux dieux de ne faillir jamais, et de réussir toujours? Ce n'est pas au ministre, mais des dieux qu'elle fait dépendre le succès. Pourquoi donc, calomniateur infâme, pourquoi, au sujet de nos revers, m'accabler d'invectives et me charger d'imprécations dont les dieux devraient tourner l'effet sur vous et sur les vôtres?

καὶ ἀπεσκέδασαν
ὕβριν ἀντιπάλων [102].
Μαρνάμενοι δὲ
ἀρετῆς καὶ λήματος,
οὐκ ἐσάωσαν ψυχάς,
ἀλλὰ ἔθεντο Ἀΐδην
βράβην κοινόν,
οὕνεκεν Ἑλλήνων,
ὡς μὴ ἔχωσιν ἀμφὶς
ὕβριν στυγεράν,
θέντες αὐχένι
ζυγὸν δουλοσύνης
Γαῖα δὲ πατρὶς
ἔχει κόλποις
σώματα πλεῖστα
τῶν καμόντων·
ἐπεὶ κρίσις
ἐκ Διὸς
ἥδε θνητοῖς.
Ἁμαρτεῖν μηδὲν
καὶ κατορθοῦν πάντα
ἐστὶ θεῶν·
οὔτι δὲ φυγεῖν μοῖραν
ἐν βιοτῇ
μερόπων. »
Ἀκούεις, Αἰσχίνη,
καὶ ἐν τούτῳ αὐτῷ,
ὡς τὸ ἁμαρτεῖν μηδὲν
καὶ κατορθοῦν πάντα
ἐστὶ θεῶν;
οὐκ ἀνέθηκε
τῷ συμβούλῳ
τὴν δύναμιν τοῦ κατορθοῦν
τοὺς ἀγωνιζομένους,
ἀλλὰ τοῖς θεοῖς.
Τί οὖν, ὦ κατάρατε,
λοιδορεῖ ἐμοὶ περὶ τούτων,
καὶ λέγεις ἃ οἱ θεοὶ
τρέψειαν εἰς κεφαλὴν
σοὶ καὶ τοῖς σοῖς;

et ont dispersé
l'injure des adversaires.
Or combattant
avec courage et valeur,
ils n'ont pas sauvé *leurs* vies,
mais ont adopté Pluton
arbitre commun,
pour les Grecs,
afin-qu'ils n'aient pas autour *d'eux*
un outrage odieux,
ayant-placé *sur* leur cou
le joug de l'esclavage.
Mais la terre patrie
a *dans son* sein
les corps les plus nombreux
de ceux ayant-succombé;
puisque le jugement
de-la-part de Jupiter
est celui-ci *pour* les mortels.
*N'*avoir-failli *en* rien
et mener-droit toutes choses
est des dieux;
mais ne pas avoir-évité le sort
dans la vie
est des hommes. »
Entends-tu, Eschine,
aussi dans celle-ci-même,
que le *n'*avoir-failli *en* rien
et mener-droit toutes choses
est des dieux?
elle n'a pas attribué
au conseiller
la puissance de mener-droit
ceux combattant,
mais aux dieux.
Pourquoi donc, ô exécrable,
injuries-tu moi sur ces choses,
et dis-tu *des choses* que les dieux
puissent-tourner sur la tête
à toi et aux tiens?

Πολλὰ τοίνυν, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου, ἓν μάλιστ' ἐθαύμασα ἁπάντων, ὅτι τῶν συμβεβηκότων τότε τῇ πόλει μνησθείς, οὐχ ὡς ἂν εὔνους καὶ δίκαιος πολίτης ἔσχε τὴν γνώμην, οὐδ' ἐδάκρυσεν, οὐδ' ἔπαθε τοιοῦτον οὐδὲν τῇ ψυχῇ· ἀλλ' ἐπάρας τὴν φωνήν, καὶ γεγηθώς, καὶ λαρυγγίζων, ᾤετο μὲν ἐμοῦ κατηγορεῖν δηλονότι, δεῖγμα δὲ ἐξέφερε καθ' ἑαυτοῦ, ὅτι ἐπὶ τοῖς γεγενημένοις ἀνιαροῖς οὐδὲν ὁμοίως ἔσχε τοῖς ἄλλοις. Καίτοι τὸν τῶν νόμων καὶ τῆς πολιτείας φάσκοντα φροντίζειν, ὥσπερ οὗτος νυνί, καὶ εἰ μηδὲν ἄλλο, τοῦτό γ' ἔχειν δεῖ τὸ ταὐτὰ λυπεῖσθαι καὶ ταὐτὰ χαίρειν τοῖς πολλοῖς, καὶ μὴ τῇ προαιρέσει τῶν κοινῶν ἐν τῷ τῶν ἐναντίων μέρει τετάχθαι· ὃ σὺ νυνὶ πεποιηκὼς εἶ φα-

Ce qui m'a le plus révolté, Athéniens, dans le cours de ses calomnies et de ses invectives, c'est qu'en insistant sur nos malheurs, il en a parlé sans verser une larme, sans rien ressentir de cette douleur qui convient à un citoyen zélé et vertueux. Avec cet air et ce ton satisfait, avec ces éclats d'une voix sonore, il croyait m'accuser, et il ne s'apercevait pas qu'il s'accusait lui-même, en montrant sur nos calamités des sentiments si différents des vôtres. Toutefois, un citoyen qui aime les lois et le gouvernement de son pays, comme Eschine s'en vante, doit du moins, s'il ne peut rien davantage, s'affliger et se réjouir avec le peuple, et non pas embrasser par système le parti de ses ennemis; c'est ce que vous venez de faire évidemment, en m'im-

Αὐτοῦ τοινυν κατηγορηκότος	Lui donc ayant-dénoncé
καὶ κατεψευσμένου	et ayant-dit-faussement
καὶ ἄλλα πολλά,	encore d'autres choses nombreuses
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
ἐθαύμασα ἓν	je me suis étonné d'une
μάλιστα ἁπάντων,	le plus de toutes,
ὅτι μνησθεὶς	qu'ayant-rappelé
τῶν συμβεβηκότων	les choses étant-arrivées
τῇ πόλει τότε,	à la ville alors,
οὐκ ἔσχε τὴν γνώμην,	il n'a pas eu le sentiment,
ὡς ἂν πολίτης	comme un citoyen
εὔνους καὶ δίκαιος,	bienveillant et juste,
οὐδὲ ἐδάκρυσεν,	et n'a pas pleuré,
οὐδὲ ἔπαθεν οὐδὲν τοιοῦτον	et n'a éprouvé rien de tel
τῇ ψυχῇ·	*dans* l'âme;
ἀλλὰ ἐπάρας τὴν φωνήν,	mais ayant-élevé la voix,
καὶ γεγηθώς,	et s'étant-réjoui,
καὶ λαρυγγίζων,	et criant-à-pleine-gorge,
ᾤετο μὲν δηλονότι	il croyait évidemment
κατηγορεῖν ἐμοῦ,	accuser moi,
ἐξέφερε δὲ δεῖγμα	mais apportait un indice
κατὰ ἑαυτοῦ,	contre lui-même,
ὅτι ἔσχεν οὐδὲν	qu'il *ne* se trouvait *en* rien
ὁμοίως τοῖς ἄλλοις	semblablement aux autres
ἐπὶ τοῖς ἀνιαροῖς	sur les choses affligeantes
γεγενημένοις.	ayant-eu-lieu.
Καίτοι δεῖ τὸν φάσκοντα,	Cependant il faut celui disant
ὥσπερ οὗτος νυνί,	comme celui-ci tantôt,
φροντίζειν τῶν νόμων	prendre-souci des lois
καὶ τῆς πολιτείας,	et de l'administration,
ἔχειν τοῦτό γε,	avoir ceci du-moins,
καὶ εἰ μηδὲν ἄλλο,	même si rien autre,
τὸ λυπεῖσθαι τὰ αὐτὰ	le s'affliger des mêmes choses
καὶ χαίρειν τὰ αὐτὰ	et se réjouir des mêmes
τοῖς πολλοῖς,	*que* les nombreux,
καὶ μὴ τετάχθαι	et ne pas s'être-rangé
τῇ προαιρέσει	*par* le système
τῶν κοινῶν	des *affaires* communes
ἐν τῷ μέρει τῶν ἐναντιων·	dans le parti des adversaires,
ὃ σὺ εἶ φανερὸς	*ce* que toi tu es évident

νερός, ἐμὲ πάντων αἴτιον, καὶ δι' ἐμὲ εἰς πράγματα φάσκων ἐμπεσεῖν τὴν πόλιν, οὐκ ἀπὸ τῆς ἐμῆς πολιτείας οὐδὲ προαιρέσεως ἀρξαμένων ὑμῶν τοῖς Ἕλλησι βοηθεῖν. Ἐπεὶ ἔμοιγ' εἰ τοῦτο δοθείη παρ' ὑμῶν, δι' ἐμὲ ὑμᾶς ἠναντιῶσθαι τῇ κατὰ τῶν Ἑλλήνων ἀρχῇ πραττομένῃ, μείζων ἂν δοθείη δωρεὰ συμπασῶν, ὧν τοῖς ἄλλοις δεδώκατε. Ἀλλ' οὔτ' ἂν ἐγὼ ταῦτα φήσαιμι (ἀδικοίην γὰρ ἂν ὑμᾶς), οὔτ' ἂν ὑμεῖς εὖ οἶδ' ὅτι συγχωρήσαιτε· οὗτος δὲ εἰ τὰ δίκαια ἐποίει, οὐκ ἄν, ἕνεκα τῆς πρὸς ἐμὲ ἔχθρας, τὰ μέγιστα τῶν ὑμετέρων καλῶν ἔβλαπτε καὶ διέβαλλεν.

Ἀλλὰ τί ταῦτ' ἐπιτιμῶ, πολλῷ σχετλιώτερα ἄλλα κατηγορηκότος αὐτοῦ καὶ κατεψευσμένου; ὃς γὰρ ἐμοῦ τὸν φιλιππισμόν, ὦ γῆ καὶ θεοί, κατηγορεῖ, τί οὗτος οὐκ ἂν εἴποι; Καίτοι, νὴ τὸν Ἡρα-

putant les malheurs de la république, et les embarras dans lesquels elle est tombée. Cependant, Athéniens, ce ne sont ni mes discours, ni ma politique qui vous ont déterminés, pour la première fois, à secourir les Grecs; si vous me cédiez la gloire de vous avoir fait résister si longtemps à une puissance qui s'élevait contre la Grèce, ce serait m'accorder le plus grand honneur que personne ait jamais obtenu. Mais je suis bien éloigné de prétendre à cette gloire, car ce serait vous faire injure; vous ne le souffririez pas, et, pour peu que mon adversaire ne fût pas ennemi de toute justice, il ne viendrait point, par haine contre moi, ternir l'éclat de vos actions les plus glorieuses.

Mais pourquoi m'arrêter à ces plaintes, lorsque j'ai à réfuter des calomnies beaucoup plus atroces? Quand on m'accuse, grands

πεποιηκὼς νυνί,
φάσκων ἐμὲ αἴτιον πάντων,
καὶ τὴν πόλιν ἐμπεσεῖν
διὰ ἐμὲ εἰς πράγματα,
ὑμῶν οὐν ἀρξαμένων
ἀπὸ τῆς πολιτείας ἐμῆς
οὐδὲ προαιρέσεως
βοηθεῖν τοῖς Ἕλλησιν.
Ἐπεὶ εἰ τοῦτο
δοθείη ἔμοιγε
παρὰ ὑμῶν,
ὑμᾶς ἠναντιῶσθαι διὰ ἐμὲ
τῇ ἀρχῇ
πραττομένῃ κατὰ τῶν Ἑλλήνων,
δωρεὰ μείζων
ἂν δοθείη
συμπασῶν ὧν
δεδώκατε τοῖς ἄλλοις.
Ἀλλὰ οὔτε ἐγὼ
ἂν φήσαιμι ταῦτα
(ἀδικοίην γὰρ ἂν ὑμᾶς),
οἶδα εὖ ὅτι
οὔτε ὑμεῖς ἂν συγχωρήσαιτε·
εἰ δὲ οὗτος
ἐποίει τὰ δίκαια,
οὐκ ἂν ἔβλαπτε
καὶ διέβαλλε
τὰ μέγιστα
τῶν καλῶν ὑμετέρων,
ἕνεκα τῆς ἔχθρας πρὸς ἐμέ.
Ἀλλὰ τί ἐπιτιμῶ ταῦτα,
αὐτοῦ κατηγορηκότος
καὶ κατεψευσμένου
ἄλλα
πολλῷ σχετλιώτερα;
τί γὰρ οὐκ ἂν εἴποι
οὗτος ὃς κατηγορεῖ
τὸν φιλιππισμὸν ἐμοῦ,
ὦ γῆ καὶ θεοί;
Καίτοι, νὴ τὸν Ἡρακλέα

ayant-fait tantôt,
disant moi cause de toutes choses,
et la ville être-tombée
par moi dans les affaires,
vous n'ayant pas commencé
d'après la politique mienne
ni *mon* système
à secourir les Grecs.
Puisque si cela
avait-été-donné à moi-certes
de-la-part de vous,
vous vous-être-opposés par moi
au pouvoir
agissant contre les Grecs,
un présent plus-grand
aurait-été-donné
*qu'*ensemble-tous *ceux* que
vous avez donnés aux autres.
Mais ni moi
je *ne* dirais ces choses
(car je ferais-injustice à vous),
je sais bien que
ni vous *ne les* accorderiez;
mais si celui-ci
faisait les choses justes,
il ne blesserait
et *ne* dénigrerait *pas*
les plus grandes
des belles choses vôtres,
à-cause-de la haine contre moi.
Mais pourquoi blâmé-je ces choses,
lui ayant-dénoncé
et ayant-dit-faussement
d'autres choses
de-beaucoup plus-indignes?
car quoi ne dirait pas
celui-ci qui dénonce
le philippisme de moi,
ô terre et dieux?
Cependant par Hercule

κλέα καὶ πάντας τοὺς θεούς, εἴ γ' ἐπ' ἀληθείας δέοι σκοπεῖσθαι, τὸ καταψεύδεσθαι καὶ δι' ἔχθραν τι λέγειν ἀνελόντας ἐκ μέσου, τίνες ὡς ἀληθῶς εἰσὶν οἷς ἂν εἰκότως καὶ δικαίως τὴν τῶν γεγενημένων αἰτίαν ἐπὶ τὴν κεφαλὴν ἀναθεῖεν ἅπαντες, τοὺς ὁμοίους τούτῳ παρ' ἑκάστῃ τῶν πόλεων εὕροι τις ἄν, οὐχὶ τοὺς ἐμοί. Οἵ, ὅτ' ἦν ἀσθενῆ τὰ Φιλίππου πράγματα καὶ κομιδῇ μικρά, πολλάκις προλεγόντων ἡμῶν, καὶ παρακαλούντων, καὶ διδασκόντων τὰ βέλτιστα, τῆς ἰδίας ἕνεκ' αἰσχροκερδείας, τὰ κοινῇ συμφέροντα προΐεντο, τοὺς ὑπάρχοντας ἕκαστοι πολίτας ἐξαπατῶντες καὶ διαφθείροντες, ἕως δούλους ἐποίησαν· Θετταλοὺς Δάοχος, Κινέας, Θρασύδαιος· Ἀρκάδας Κερκιδᾶς, Ἱερώνυμος, Εὐκαμπίδας· Ἀργείους Μύρτις, Τελάδαμος, Μνασέας· Ἠλείους Εὐξίθεος, Κλεότιμος, Ἀρίσταιχμος· Μεσσηνίους οἱ Φιλιάδου τοῦ

dieux! d'avoir été dévoué à Philippe, que n'est-on pas capable de dire? Cependant, j'en atteste Hercule et tous les dieux, si, mettant à part toute imputation fausse et injurieuse, il fallait examiner, dans la plus exacte vérité, quels sont ceux sur la tête de qui l'on pourrait justement rejeter la cause de nos malheurs, on verrait que ce sont les pareils d'Eschine dans chaque ville, et non ceux qui me ressemblent. Lorsque la puissance de Philippe était encore faible et ses ressources bornées, lorsque nous ne cessions d'avertir et d'exhorter les peuples, et que nous leur donnions les meilleurs conseils, on a vu ces perfides vendre à vil prix les grands intérêts de la Grèce, tromper à l'envi et séduire leurs concitoyens, jusqu'à ce qu'ils les eussent réduits en servitude. Ainsi Daochus, Cinéas, Thrasydée ont asservi les Thessaliens; Cercydas, Hiéronyme, Eucampidas, les Arcadiens; Myrtis, Téladame, Mnaséas, les Argiens; Euxithée, Cléotime, Aristechme,

καὶ πάντας τοὺς θεούς,	et tous les dieux,
εἴ γε δέοι σκοπεῖσθαι	si certes il fallait examiner
ἐπὶ ἀληθείας,	dans la vérité,
ἀνελόντας ἐκ μέσου	ayant-enlevé du milieu
τὸ καταψεύδεσθαι	le mentir
καὶ λέγειν τι διὰ ἔχθραν,	et dire quelque chose par haine,
τίνες εἰσὶν ὡς ἀληθῶς,	quels sont véritablement *ceux*
ἷς ἅπαντες ἂν ἀναθεῖεν	auxquels tous transporteraient
εἰκότως καὶ δικαίως	avec-raison et justement
ἐπὶ τὴν κεφαλὴν	sur la tête
ἣν αἰτίαν	l'imputation
ὧν γεγενημένων,	des choses ayant-eu-lieu,
οἷς ἂν εὕροι	quelqu'un trouverait
τοὺς ὁμοίους τούτῳ	ceux semblables à celui-ci
παρὰ ἑκάστῃ τῶν πόλεων,	dans chacune des villes,
οὐχὶ τοὺς ἐμοί.	non ceux à moi.
Οἵ, ὅτε τὰ πράγματα	*Eux* qui, quand les affaires
Φιλίππου	de Philippe
ἦν ἀσθενῆ	étaient sans-force
καὶ κομιδῇ μικρά,	et tout-à-fait petites,
ἡμῶν προλεγόντων πολλάκις,	nous prédisant souvent,
καὶ παρακαλούντων,	et exhortant,
καὶ διδασκόντων	et enseignant
τὰ βέλτιστα,	les meilleures choses,
προΐεντο	abandonnaient
τὰ συμφέροντα κοινῇ,	les choses important en-commun,
ἕνεκα τῆς αἰσχροκερδείας ἰδίας,	pour le vil-gain particulier,
ἕκαστοι ἐξαπατῶντες	chacuns trompant
καὶ διαφθείροντες	et corrompant
τοὺς πολίτας ὑπάρχοντας,	les citoyens étant-présents,
ἕως ἐποίησαν δούλους·	jusqu'à-ce-qu'ils *les* firent esclaves·
Δάοχος, Κινέας,	Daochus, Cinéas,
Θρασύδαιος Θετταλούς·	Thrasydée les Thessaliens;
Κερκιδᾶς, Ἱερώνυμος,	Cercidas, Hiéronyme,
Εὐκαμπίδας Ἀρκάδας·	Eucampidas, les Arcadiens;
Μύρτις, Τελάδαμος,	Myrtis, Téladame,
Μνασέας Ἀργείους	Mnaséas les Argiens;
Εὐξίθεος, Κλεότιμος,	Euxithée, Cléotime,
Ἀρίσταιχμος Ἠλείους·	Aristechme les Éléens;
οἱ παῖδες Φιλιάδου	les enfants de Philiade

θεοῖς ἐχθροῦ παῖδες, Νέων καὶ Θρασύλοχος· Σικυωνίους Ἀρίστρατος, Ἐπιχάρης· Κορινθίους Δείναρχος, Δημάρατος· Μεγαρέας Πτοιόδωρος, Ἕλιξος, Περίλαος· Θηβαίους Τιμόλαος, Θεογείτων, Ἀνεμοίτας· Εὐβοέας Ἵππαρχος, Κλείταρχος, Σωσίστρατος. Ἐπιλείψει με λέγοντα ἡ ἡμέρα τὰ τῶν προδοτῶν ὀνόματα. Οὗτοι πάντες εἰσίν, ἄνδρες Ἀθηναῖοι, τῶν αὐτῶν βουλευμάτων ἐν ταῖς αὐτῶν πατρίσιν, ὧνπερ οὗτοι παρ' ὑμῖν, ἄνθρωποι μιαροί, καὶ κόλακες, καὶ ἀλάστορες, ἠκρωτηριασμένοι τὰς ἑαυτῶν ἕκαστοι πατρίδας, τὴν ἐλευθερίαν προπεπωκότες, πρότερον μὲν Φιλίππῳ, νῦν δὲ Ἀλεξάνδρῳ, τῇ γαστρὶ μετροῦντες καὶ τοῖς αἰσχίστοις τὴν εὐδαιμονίαν, τὴν δ' ἐλευθερίαν καὶ τὸ μηδένα ἔχειν δεσπότην αὐτῶν, ἃ τοῖς προτέροις Ἕλλησιν ὅροι τῶν ἀγαθῶν ἦσαν καὶ κανόνες, ἀνατετραφότες.

Ταύτης τοίνυν τῆς οὕτως αἰσχρᾶς καὶ περιβοήτου συστά-

les Eléens; Néon et Thrasyloque, fils de Philiade, l'ennemi des dieux, les Messéniens; Aristrate, Épicharès, les Sicyoniens; Dinarque, Démarate, les Corinthiens; Ptéodore, Elixe, Périlaüs, les Mégariens; Timolaüs, Théogiton, Anémœtas, les Thébains. Le jour ne me suffirait pas pour nommer tous les traîtres. Ce sont ces hommes qui, chacun dans sa ville, suivaient les mêmes principes que ceux-ci dans Athènes, des scélérats, des adulateurs, fléaux dangereux qui, après avoir mutilé et défiguré leurs patries, assis à la table de Philippe, et la coupe à la main, lui vendaient la liberté publique, qui, plaçant le bonheur dans les excès et les infamies de la débauche, ont détruit la liberté et l'indépendance, toujours regardées par nos pères comme la base et le dernier terme de la félicité.

Au milieu de cette conspiration générale, de cette lâcheté, ou plu-

τοῦ ἐχθροῦ θεοῖς,
Νέων καὶ Θρασύλοχος
Μεσσηνίους·
Ἀρίστρατος, Ἐπιχάρης
Σικυωνίους·
Δείναρχος, Δημάρατος
Κορινθίους·
Πτοιόδωρος, Ἕλιξος,
Περίλαος Μεγαρέας·
Τιμόλαος, Θεογείτων,
Ἀνεμοίτας Θηβαίους·
Ἵππαρχος, Κλείταρχος,
Σωσίστρατος Εὐβοέας.
Ἡ ἡμέρα ἐπιλείψει με
λέγοντα τὰ ὀνόματα
τῶν προδοτῶν.
Πάντες οὗτοι,
ὦ ἄνδρες Ἀθηναῖοι,
εἰσὶ τῶν αὐτῶν βουλευμάτων
ἐν ταῖς πατρίσιν αὐτῶν,
ὧνπερ οὗτοι παρὰ ὑμῖν,
ἄνθρωποι μιαροί,
καὶ κόλακες, καὶ ἀλάστορες,
ἠκρωτηριασμένοι
ἕκαστοι τὰς πατρίδας ἑαυτῶν,
προπεπωκότες τὴν ἐλευθερίαν,
πρότερον μὲν Φιλίππῳ,
νῦν δὲ Ἀλεξάνδρῳ,
μετροῦντες τὴν εὐδαιμονίαν
τῇ γαστρὶ
καὶ τοῖς αἰσχίστοις,
ἀνατετραφότες δὲ
τὴν ἐλευθερίαν καὶ τὸ ἔχειν
μηδένα δεσπότην αὐτῶν,
ἃ ἦσαν
τοῖς Ἕλλησι προτέροις
ὅροι καὶ κανόνες τῶν ἀγαθῶν.
Ἡ τε πόλις τοίνυν
γέγονεν ἀναίτιος
παρὰ πᾶσιν ἀνθρώποις

l'ennemi des dieux,
Néon et Thrasyloque
les Messéniens;
Aristrate, Épicharès
les Sicyoniens;
Dinarque, Démarate
les Corinthiens;
Ptéodore, Elixe,
Périlaüs les Mégariens;
Timolaüs, Théogiton,
Anémœtas les Thébains;
Hipparque, Clitarque,
Sosistrate les Eubéens.
Le jour manquera à moi
disant les noms
des traîtres.
Tous ceux-ci,
ô hommes Athéniens
sont des mêmes projets
dans les patries d'eux-mêmes
desquels ceux-ci chez vous,
hommes souillés,
et flatteurs, et fléaux,
ayant-mutilé
chacuns les patries d'eux-mêmes,
ayant-bu la liberté,
à la santé d'abord de Philippe,
et maintenant d'Alexandre,
mesurant le bonheur
au ventre
et aux plus honteuses *parties*,
et ayant-renversé
la liberté et le *n'*avoir
personne maître d'eux-mêmes,
choses qui étaient
pour les Grecs antérieurs
limites et règles des biens.
Donc et la ville
devint innocente
chez tous les hommes

σεως καὶ κακίας, μᾶλλον δ', ὦ ἄνδρες Ἀθηναῖοι, προδοσίας, εἰ δεῖ μὴ ληρεῖν, τῆς τῶν Ἑλλήνων ἐλευθερίας, ἥ τε πόλις παρὰ πᾶσιν ἀνθρώποις ἀναίτιος γέγονεν ἐκ τῶν ἐμῶν πολιτευμάτων, καὶ ἐγὼ παρ' ὑμῖν. Εἶτά μ' ἐρωτᾷς ἀντὶ ποίας ἀρετῆς ἀξιῶ τιμᾶσθαι; ἐγὼ δή σοι λέγω· ὅτι, τῶν πολιτευομένων παρὰ τοῖς Ἕλλησι διαφθαρέντων ἁπάντων, ἀρξαμένων ἀπὸ σοῦ, πρότερον μὲν ὑπὸ Φιλίππου, νῦν δ' ὑπ' Ἀλεξάνδρου, ἐμὲ οὔτε καιρός, οὔτε φιλανθρωπία λόγων, οὔτ' ἐπαγγελιῶν μέγεθος, οὔτ' ἐλπίς, οὔτε φόβος, οὔτε χάρις, οὔτ' ἄλλο οὐδὲν ἐπῆρεν οὐδὲ προηγάγετο, ὧν ἔκρινα δικαίων καὶ συμφερόντων τῇ πατρίδι, οὐδὲν προδοῦναι· οὐδ', ὅσα συμβεβούλευκα πώποτε τουτοισί, ὁμοίως ὑμῖν, ὡςπερανεὶ ἐν τρυτάνῃ, ῥέπων ἐπὶ τὸ λῆμμα συμβεβούλευκα, ἀλλ' ἀπ' ὀρθῆς καὶ δικαίας καὶ ἀδιαφθόρου τῆς ψυχῆς τὰ πάντα μοι πέπρακται· καὶ μεγίστων δὴ πραγμάτων τῶν

tôt, s'il faut le dire, de cette perfidie honteuse, universelle, qui a trahi la liberté commune, si le monde entier a rendu justice à l'innocence d'Athènes, comme Athènes me la rend, c'est l'ouvrage de mon administration. Et vous me demandez, Eschine, à quel titre je prétends mériter une couronne; je vais vous le dire. C'est que chez tous les Grecs, tous les ministres, en commençant par vous, s'étant laissés corrompre d'abord par Philippe, ensuite par Alexandre, je ne cédai, moi, ni à la douceur des paroles, ni à la grandeur des promesses, ni aux occasions, ni à l'espérance, ni à la crainte, ni à la faveur, et que rien ne put m'engager à trahir ce que je regardai toujours comme les droits et les intérêts de ma patrie; c'est que tous les conseils que je donnai, je ne les donnai jamais comme vous, en vil mercenaire qui, ainsi que la balance, penche du côté qu'il reçoit le plus, mais que j'ai tout fait avec une âme droite, juste, incorruptible, et qu'ayant été, plus que personne, à la tête des plus

ἐκ τῶν πολιτευμάτων ἐμῶν,	d'après les actions-politiques miennes,
καὶ ἐγὼ παρὰ ὑμῖν,	et moi chez vous,
ταύτης τῆς συστάσεως	de cette conspiration
καὶ κακίας	et méchanceté
οὕτως αἰσχρᾶς καὶ περιβοήτου,	tellement honteuse et divulguée.
μᾶλλον δέ, ὦ ἄνδρες Ἀθηναῖοι,	mais plutôt, ô hommes Athéniens,
εἰ δεῖ μὴ ληρεῖν,	s'il faut ne pas déraisonner,
προδοσίας	trahison
τῆς ἐλευθερίας τῶν Ἑλλήνων.	de la liberté des Grecs.
Εἶτα ἐρωτᾷς με	Ensuite tu interroges moi
ἀντὶ ποίας ἀρετῆς	pour quelle vertu
ἀξιῶ τιμᾶσθαι!	je demande à être honoré!
ἐγὼ δὴ λέγω σοι·	moi donc je dis à toi :
ὅτι, ἁπάντων τῶν πολιτευομένων	parce-ce-que, tous ceux administrant
παρὰ τοῖς Ἕλλησι	chez les Grecs
διαφθαρέντων,	ayant-été-corrompus,
ἀρξαμένων ἀπὸ σοῦ,	ayant-commencé par toi,
πρότερον μὲν ὑπὸ Φιλίππου,	précédemment par Philippe,
νῦν δὲ ὑπὸ Ἀλεξάνδρου,	mais maintenant par Alexandre,
οὔτε καιρός,	ni l'occasion,
οὔτε φιλανθρωπία λόγων,	ni la bienveillance des paroles,
οὔτε μέγεθος ἐπαγγελιῶν,	ni la grandeur des promesses,
οὔτε ἐλπίς, οὔτε φόβος,	ni l'espérance, ni la crainte,
οὔτε χάρις, οὔτε οὐδὲν ἄλλο	ni la faveur, ni aucune autre chose
ἐπῆρεν οὐδὲ προηγάγετο ἐμὲ	*n'*excita ni *n'*amena moi
προδοῦναι οὐδὲν	à trahir aucune *des choses*
ὧν ἔκρινα δικαίων	que j'ai jugées justes
καὶ συμφερόντων τῇ πατρίδι·	et important à la patrie;
οὐδὲ συμβεβούλευκα πώποτε	et je n'ai conseillé jamais
ὅσα συμβεβούλευκα	toutes-celles-que j'ai conseillées
τουτοισίν,	à ceux-ci,
ὁμοίως ὑμῖν,	semblablement à vous,
ῥέπων ἐπὶ τὸ λῆμμα,	penchant vers le gain,
ὡςπερανεὶ ἐν τρυτάνῃ.	comme dans une balance,
ἀλλὰ τὰ πάντα	mais toutes
πέπρακταί μοι	ont-été-faites *par* moi
ἀπὸ τῆς ψυχῆς ὀρθῆς	d'après l'âme droite
καὶ δικαίας καὶ ἀδιαφθόρου·	et juste et incorruptible;
καὶ προστὰς	et ayant-été-à-la-tête
τῶν πραγμάτων μεγίστων δὴ	des affaires les plus grandes certes

κατ' ἐμαυτὸν ἀνθρώπων προστάς, πάντα ταῦτα ὑγιῶς καὶ δικαίως καὶ ἁπλῶς πεπολίτευμαι. Διὰ ταῦτ' ἀξιῶ τιμᾶσθαι.

Τὸν δὲ τειχισμὸν τοῦτον, ὃν σύ μου διέσυρες, καὶ τὴν ταφρείαν, ἄξια μὲν χάριτος καὶ ἐπαίνου κρίνω· πῶς γὰρ οὔ; πόῤῥω μέντοι που τῶν ἐμαυτῷ πεπολιτευμένων τίθεμαι. Οὐ γὰρ λίθοις ἐτείχισα τὴν πόλιν, οὐδὲ πλίνθοις ἐγώ, οὐδ' ἐπὶ τούτοις μέγιστον τῶν ἐμαυτοῦ φρονῶ· ἀλλ' ἐὰν τὸν ἐμὸν τειχισμὸν βούλῃ δικαίως σκοπεῖν, εὑρήσεις ὅπλα, καὶ πόλεις, καὶ τόπους, καὶ λιμένας, καὶ ναῦς, καὶ ἵππους, καὶ τοὺς ὑπὲρ τούτων ἀμυνομένους. Ταῦτα προὐβαλόμην ἐγὼ πρὸ τῆς Ἀττικῆς, ὅσον ἦν ἀνθρωπίνῳ λογισμῷ δυνατόν, καὶ τούτοις ἐτείχισα τὴν χώραν, οὐχὶ τὸν κύκλον μόνον τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος. Οὐδέ γ' ἡττήθην ἐγὼ τοῖς λογισμοῖς Φιλίππου (πολλοῦ γε καὶ δεῖ),

grandes affaires, je les ai conduites avec sagesse, avec justice et avec droiture. Voilà pourquoi je prétends mériter une récompense.

Quant à ces réparations de fossés et de murs, objets de vos railleries, je les crois dignes de reconnaissance et d'éloges : et pourquoi non? Mais je ne veux pas les placer au même rang que mes actions politiques. Non, ce n'est point avec des briques, ni avec des pierres, que j'ai fortifié Athènes; ce n'est point de cela que je m'applaudis le plus. Examinez vous-même, en toute équité, les fortifications dont je l'ai revêtue; armes, navires, ports, villes, forteresses, chevaux, soldats levés pour la défense commune : voilà ce que vous trouverez, Eschine; voilà les remparts dont j'ai couvert et muni l'Attique, autant que le pouvait la prudence humaine; remparts qui embrassaient toute la contrée, et non simplement le port et la ville. Enfin, jamais Philippe ne m'a vaincu, ni par sa politique, ni par ses

τῶν ἀνθρώπων κατὰ ἐμαυτόν,	des hommes à-l'époque-de moi-même,
πεπολίτευμαι πάντα ταῦτα	j'ai administré toutes celles-ci
ὑγιῶς καὶ δικαίως καὶ ἁπλῶς.	sainement et justement et simplement.
Διὰ ταῦτα	Pour ces choses
ἀξιῶ τιμᾶσθαι.	je demande à être-honoré.
Κρίνω δὲ	Or je juge
τοῦτον τὸν τειχισμόν,	cette réparation-des-murs,
ὃν σὺ διέσυρές μου,	que toi tu dénigrais *contre* moi,
καὶ τὴν ταφρείαν	et la réparation-des-fossés
ἄξια μὲν χάριτος καὶ ἐπαίνου·	dignes de reconnaissance et d'éloge ;
πῶς γὰρ οὔ;	car comment non?
τίθεμαι μέντοι	je *les* place cependant
πόῤῥω που	loin quelque-part
τῶν πεπολιτευμένων	des choses ayant-été-administrées
ἐμαυτῷ.	*par* moi-même.
Ἐγὼ γὰρ οὐκ ἐτείχισα τὴν πόλιν	Car moi je n'ai pas fortifié la ville
λίθοις οὐδὲ πλίνθοις,	*avec* des pierres ni des briques,
οὐδὲ φρονῶ μέγιστον	et je ne pense pas la-plus-grande
τῶν ἐμαυτοῦ	des *actions* de moi-même
ἐπὶ τούτοις·	*être* dans celles-ci ;
ἀλλὰ ἐὰν βούλῃ	mais si tu veux
σκοπεῖν δικαίως	examiner justement
τὸν τειχισμὸν ἐμόν,	la fortification mienne,
εὑρήσεις ὅπλα,	tu trouveras des armes,
καὶ πόλεις, καὶ τόπους[103],	et des villes, et des pays,
καὶ λιμένας, καὶ ναῦς,	et des ports, et des vaisseaux,
καὶ ἵππους,	et des chevaux,
καὶ τοὺς ἀμυνομένους	et ceux prenant-la défense
ὑπὲρ τούτων.	pour ces choses.
Ἐγὼ προὐβαλόμην ταῦτα	Moi j'ai opposé ces choses
πρὸ τῆς Ἀττικῆς,	en-avant de l'Attique,
ὅσον ἦν δυνατὸν	autant-qu'il était possible
λογισμῷ ἀνθρωπίνῳ,	au calcul humain,
καὶ ἐτείχισα τὴν χώραν τούτοις,	et j'ai fortifié le pays *par* elles,
οὐχὶ τὸν κύκλον μόνον	non le cercle seul
τοῦ Πειραιῶς οὐδὲ τοῦ ἄστεος.	du Pirée ni de la ville.
Οὐδέ γε ἐγὼ ἡττήθην	Et certes moi je n'ai pas été-inférieu
τοῖς λογισμοῖς	aux calculs
οὐδὲ ταῖς παρασκευαῖς Φιλίππου	ni aux préparatifs de Philippe
(δεῖ γε καὶ πολλοῦ).	(il s'en-faut certes encore de beaucoup),

οὐδὲ ταῖς παρασκευαῖς, ἀλλ' οἱ τῶν συμμάχων στρατηγοὶ καὶ αἱ δυνάμεις τῇ τύχῃ. Τίνες αἱ τούτων ἀποδείξεις; ἐναργεῖς καὶ φανεραί· σκοπεῖτε δέ.

Τί χρῆν τὸν εὔνουν πολίτην ποιεῖν; τί τὸν μετὰ πάσης προνοίας καὶ προθυμίας καὶ δικαιοσύνης ὑπὲρ τῆς πατρίδος πολιτευόμενον; οὐκ ἐκ μὲν θαλάττης τὴν Εὔβοιαν προβαλέσθαι πρὸ τῆς Ἀττικῆς, ἐκ δὲ τῆς μεσογείας τὴν Βοιωτίαν, ἐκ δὲ τῶν πρὸς Πελοπόννησον τόπων τοὺς ὁμόρους ἑαυτῇ; οὐ τὴν σιτοπομπίαν, ὅπως παρὰ πᾶσαν φιλίαν ἄχρι τοῦ Πειραιῶς κομισθήσεται, προϊδέσθαι; καὶ τὰ μὲν σῶσαι τῶν ὑπαρχόντων, ἐκπέμποντα βοηθείας, καὶ λέγοντα καὶ γράφοντα τοιαῦτα, τὴν Προκόννησον, τὴν Χερρόνησον, τὴν Τένεδον· τὰ δ' ὅπως οἰκεῖα καὶ σύμμαχ' ὑπάρξει, πρᾶξαι, τὸ Βυζάντιον, τὴν Ἄβυδον, τὴν Εὔβοιαν; καὶ τῶν μὲν τοῖς ἐχθροῖς ὑπαρχουσῶν δυνάμεων τὰς μεγίστας ἀφελεῖν, ὧν δ' ἐνέλειπε τῇ πόλει, ταῦτα προσθεῖναι;

armes, il s'en faut de beaucoup; mais la fortune a triomphé des généraux et des forces de nos alliés. En voici les preuves qui sont évidentes; jugez-les, Athéniens.

Que devait faire un citoyen zélé, que devait faire un ministre qui travaillait pour sa patrie avec toute la prudence, toute l'ardeur, toute la droiture dont il était capable? Ne devait-il pas couvrir l'Attique du côté de la mer, par l'Eubée; du côté du continent, par la Béotie; du côté du Péloponèse, par le pays limitrophe? Ne devait-il pas rendre libre et sûr le transport de nos grains jusqu'au Pirée? D'une part, nous assurer ce que nous possédions, la Proconèse, la Chersonèse, Ténédos, y faire marcher des secours, diriger vers ce but tous ses discours et ses décrets; de l'autre, engager dans notre parti et dans notre amitié Byzance, Abydos, l'Eubée; ôter à l'ennemi ses principales forces, et suppléer à celles qui nous manquaient? Et c'est ce

ἀλλὰ οἱ στρατηγοὶ τῶν συμμάχων	mais les généraux des alliés
καὶ αἱ δυνάμεις τῇ τύχῃ.	et leurs forces à la fortune.
Τίνες αἱ ἀποδείξεις τούτων;	Quelles *sont* les preuves de ces choses?
ἐναργεῖς καὶ φανεραί·	claires et évidentes;
σκοπεῖτε δέ.	mais examinez.
Τί χρῆν	Quoi fallait-il
τὸν πολίτην εὔνουν ποιεῖν;	le citoyen bienveillant faire?
τί τὸν πολιτευόμενον	quoi celui administrant
ὑπὲρ τῆς πατρίδος	pour la patrie
μετὰ πάσης προνοίας	avec toute prévoyance
καὶ προθυμίας καὶ δικαιοσύνης;	et zèle et justice?
οὐ προβαλέσθαι τὴν μὲν Εὔβοιαν	non avoir-placé l'Eubée
πρὸ τῆς Ἀττικῆς	au-devant de l'Attique
ἐκ θαλάττης,	du-côté de la mer,
τὴν δὲ Βοιωτίαν	et la Béotie
ἐκ μεσογείας,	du-côté du continent,
τοὺς δὲ ὁμόρους ἑαυτῇ [104]	et les limitrophes à elle-même
ἐκ τῶν τόπων	du-côté-des lieux
πρὸς Πελοπόννησον;	vers le Péloponèse?
οὐ προϊδέσθαι	non avoir-prévu
τὴν σιτοπομπίαν,	le transport-du-blé,
ὅπως κομισθήσεται	afin qu'il soit-transporté
παρὰ πᾶσαν φιλίαν	à travers toute amitié
ἄχρι τοῦ Πειραιῶς;	jusqu'au Pirée?
καὶ σῶσαι	et avoir-sauvé
τὰ μὲν τῶν ὑπαρχόντων,	les unes des choses étant *à nous*,
τὴν Προκόννησον [105],	la Proconèse,
τὴν Χερρόνησον, τὴν Τένεδον,	la Chersonèse, l'*île* Ténédos,
ἐκπέμποντα βοηθείας,	envoyant des secours,
καὶ λέγοντα καὶ γράφοντα	et disant et écrivant
τοιαῦτα·	de telles choses;
πρᾶξαι δὲ τά,	et avoir-fait les autres,
τὸ Βυζάντιον, τὴν Ἄβυδον,	Byzance, Abyde,
τὴν Εὔβοιαν,	l'Eubée,
ὅπως ὑπάρξει οἰκεῖα καὶ σύμμαχα;	afin qu'elles soient amies et alliées?
καὶ ἀφελεῖν μὲν	et avoir-enlevé
τὰς μεγίστας τῶν δυνάμεων	les plus grandes des forces
ὑπαρχουσῶν τοῖς ἐχθροῖς,	appartenant aux ennemis,
προσθεῖναι δὲ ταῦτα,	et avoir-ajouté ces choses
ὧν ἐνέλειπε τῇ πόλει;	dont le-manque-était à la ville?

ταῦτα τοίνυν ὑμῖν ἅπαντα πέπρακται τοῖς ἐμοῖς ψηφίσμασι καὶ τοῖς ἐμοῖς πολιτεύμασιν· ἃ καὶ βεβουλευμένα, ὦ ἄνδρες Ἀθηναῖοι, ἐὰν ἄνευ φθόνου τις βούληται σκοπεῖν, ὀρθῶς εὑρήσει, καὶ πεπραγμένα πάσῃ δικαιοσύνῃ, καὶ τὸν ἑκάστου καιρὸν οὐ παρεθέντα, οὐδ' ἀγνοηθέντα, οὐδὲ προεθέντα ὑπ' ἐμοῦ, καὶ ὅσα εἰς ἀνδρὸς ἑνὸς δύναμιν καὶ λογισμὸν ἧκεν, οὐδὲν ἐλλειφθέν. Εἰ δὲ ἡ δαίμονός τινος δυςμένεια, ἢ τύχης ἰσχύς, ἢ τῶν στρατηγῶν φαυλότης, ἢ τῶν προδιδόντων τὰς πόλεις ὑμῶν κακία, ἢ πάντα ταῦτα ἅμα ἐλυμαίνετο τοῖς ὅλοις, ἕως ἀνέτρεψε, τί Δημοσθένης ἀδικεῖ; Εἰ δ', οἷος ἦν ἐγὼ παρ' ὑμῖν κατὰ τὴν ἐμαυτοῦ τάξιν, εἷς ἐν ἑκάστῃ τῶν Ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ', εἰ ἕνα μόνον ἄνδρα Θετταλία, καὶ ἕνα ἄνδρα Ἀρκαδία ταὐτὰ φρονοῦντα ἔσχεν ἐμοί, οὐδεὶς οὔτε τῶν ἔξω Πυλῶν

que vous êtes, Athéniens, en vertu de mes décrets et de mes mesures. Qu'on examine ma conduite sans passion, on verra que je concertai tout avec sagesse, que j'exécutai tout avec droiture, que je ne manquai, n'ignorai, ne trahis aucune occasion favorable; que je n'omis rien, en un mot, qui fût au pouvoir et à la portée d'un seul homme. Si la rigueur du sort, ou quelque divinité contraire, ou l'incapacité des généraux, ou la perversité des traîtres qui ont livré vos villes, ou toutes ces causes réunies, ont ébranlé et renversé la constitution de la Grèce, où donc est la faute de Démosthène? Ah! s'il se fût trouvé dans chaque ville un seul citoyen tel que j'étais ici dans la partie qui m'a été confiée; que dis-je? si un seul homme en Thessalie, un seul en Arcadie eussent pensé comme moi, aucun des Grecs, ni en deçà, ni au delà des Thermopyles n'aurait été atteint

ἅπαντα τοίνυν ταῦτα	or toutes ces choses
πέπρακται ὑμῖν	ont-été-faites à vous
τοῖς ψηφίσμασιν ἐμοῖς	*d'après* les décrets miens
καὶ τοῖς πολιτεύμασιν ἐμοῖς·	et les systèmes-politiques miens;
ἅ, ἐάν τις βούληται	lesquelles, si quelqu'un veut
σκοπεῖν ἄνευ φθόνου,	examiner sans haine,
ὦ ἄνδρες Ἀθηναῖοι,	ô hommes Athéniens,
εὑρήσει.	il trouvera
καὶ βεβουλευμένα ὀρθῶς,	et ayant-été-décidées bien,
καὶ πεπραγμένα	et ayant-été-faites
πάσῃ δικαιοσύνῃ,	*avec* toute justice,
καὶ τὸν καιρὸν ἑκάστου	et l'occasion de chacune
οὐ παρεθέντα,	n'ayant pas été-négligée,
οὐδὲ ἀγνοηθέντα,	et n'ayant pas été-méconnue,
οὐδὲ προεθέντα ὑπὸ ἐμοῦ,	et n'ayant pas été-livrée par moi,
καὶ οὐδὲν ἐλλειφθὲν	et aucune *n'*ayant-été-omise
ὅσα ἧκεν	*de* toutes les choses qui entraient
εἰς δύναμιν καὶ λογισμὸν	dans le pouvoir et le calcul
ἑνὸς ἀνδρός.	d'un-seul homme.
Εἰ δὲ ἡ δυσμένεια	Mais si ou la malveillance
τινὸς δαίμονος,	de quelque divinité,
ἢ ἰσχὺς τύχης,	ou la force de la fortune,
ἢ φαυλότης τῶν στρατηγῶν,	ou la sottise des généraux,
ἢ κακία τῶν προδιδόντων	ou la méchanceté de ceux trahissant
τὰς πόλεις ὑμῶν,	les villes de vous,
ἢ πάντα ταῦτα ἅμα	ou toutes ces choses ensemble
ἐλυμαίνετο τοῖς ὅλοις,	endommageaient le tout,
ἕως ἀνέτρεψε,	jusqu'à-ce-qu'elles *l'*ont renversé,
τί Δημοσθένης ἀδικεῖ;	*en* quoi Démosthène fait-il-injustice?
Εἰ δὲ εἷς ἀνὴρ ἐγένετο	Mais si un-seul homme avait été
ἐν ἑκάστῃ τῶν πόλεων Ἑλληνίδων,	dans chacune des villes Grecques,
οἷος ἐγὼ ἦν παρὰ ὑμῖν	tel-que moi j'étais chez vous
κατὰ τὴν τάξιν ἐμαυτοῦ,	selon le rang de moi-même,
μᾶλλον δέ,	mais plutôt,
εἰ Θετταλία ἔσχεν	si la Thessalie avait eu
μόνον ἕνα ἄνδρα,	seulement un homme,
καὶ Ἀρκαδία ἕνα ἄνδρα	et l'Arcadie un homme
φρονοῦντα τὰ αὐτὰ ἐμοί,	pensant les mêmes choses *que* moi
οὐδεὶς οὔτε τῶν Ἑλλήνων	aucun ni des Grecs
ἔξω Πυλῶν,	en-dehors des Thermopyles,

Ἑλλήνων, οὔτε τῶν εἴσω, τοῖς παροῦσι κακοῖς ἂν ἐκέχρητο· ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι, μετὰ πάσης ἀδείας, ἀσφαλῶς, ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας, τῶν τοσούτων καὶ τοιούτων ἀγαθῶν ὑμῖν καὶ τοῖς ἄλλοις Ἀθηναίοις ἔχοντες χάριν δι' ἐμέ.

Ἵνα δ' εἰδῆτε ὅτι πολλῷ τοῖς λόγοις ἐλάττοσι χρῶμαι τῶν ἔργων, εὐλαβούμενος τὸν φθόνον, λέγε μοι ταυτί, καὶ ἀνάγνωθι λαβὼν τὸν ἀριθμὸν τῶν βοηθειῶν κατὰ τὰ ἐμὰ ψηφίσματα.

ΑΡΙΘΜΟΣ ΒΟΗΘΕΙΩΝ.

Ταῦτα καὶ τὰ τοιαῦτα πράττειν, Αἰσχίνη, τὸν καλὸν κἀγαθὸν πολίτην δεῖ (ὧν κατορθουμένων μέν, ὦ γῆ καὶ θεοί, μεγίστοις ἀναμφισβητήτως ὑπῆρχεν εἶναι, καὶ τὸ δικαίως προσῆν· ὡς ἑτέρως δὲ συμβάντων, τὸ γοῦν εὐδοκιμεῖν περίεστι, καὶ τὸ μηδένα μέμφεσθαι τὴν πόλιν, μηδὲ τὴν προαίρεσιν αὐτῆς, ἀλλὰ

des maux qui pèsent sur nous; mais gouvernés par leurs propres lois, et jouissant tous d'une heureuse indépendance, ils vivraient dans leur patrie sans péril et sans crainte, redevables de leur bonheur à vous et aux autres Athéniens, grâce à mes conseils.

Pour vous convaincre, Eschine, que mes paroles sont au-dessous de mes œuvres, parce que je crains d'irriter l'envie, greffier, lisez l'énumération des secours que mes décrets ont procurés à la république.

ÉNUMÉRATION DES SECOURS.

Voilà, Eschine, voilà ce que doit faire un bon citoyen : si le succès eût suivi, ciel et terre, je vous en atteste, nous serions maintenant au faîte de la grandeur, et à juste titre; mais si le succès nous a manqué, nous avons du moins cet avantage, que notre réputation est intègre, notre conduite irréprochable, et qu'on impute tout à la for-

οὔτε τῶν εἴσω,	ni de ceux en-dedans,
ἂν ἐκέχρητο	*ne* se serait servi
τοῖς κακοῖς παροῦσιν·	des maux présents;
ἀλλὰ πάντες ὄντες ἐλεύθεροι	mais tous étant libres
καὶ αὐτόνομοι,	et régis-par-leurs-lois,
ᾤκουν ἂν	habiteraient
τὰς πατρίδας ἑαυτῶν,	les patries d'eux-mêmes,
μετὰ πάσης ἀδείας,	avec toute sécurité,
ἀσφαλῶς,	sûrement,
ἐν εὐδαιμονίᾳ,	dans le bonheur,
καὶ ἔχοντες χάριν ὑμῖν	et ayant grâce à vous
καὶ τοῖς ἄλλοις Ἀθηναίοις,	et aux autres Athéniens,
διὰ ἐμέ,	par moi,
τῶν ἀγαθῶν	des biens
τοσούτων καὶ τοιούτων.	si grands et tels.
Ἵνα δὲ εἰδῆτε	Mais afin-que vous voyiez
ὅτι χρῶμαι λόγοις	que j'use de discours
πολλῷ ἐλάττοσι τῶν ἔργων,	beaucoup moindres *que* les actions,
εὐλαβούμενος φθόνον,	prenant-garde à l'envie,
λέγε μοι ταυτί,	dis à moi ces choses,
καὶ ἀνάγνωθι λαβὼν	et lis *l'*ayant-prise
τὸν ἀριθμὸν τῶν βοηθειῶν	l'énumération des secours
κατὰ τὰ ψηφίσματα ἐμά.	selon les décrets miens.
ΑΡΙΘΜΟΣ ΒΟΗΘΕΙΩΝ.	ÉNUMÉRATION DES SECOURS
Δεῖ τὸν πολίτην	Il faut le citoyen
καλὸν καὶ ἀγαθὸν	honnête et bon
πράττειν ταῦτα καὶ τὰ τοιαῦτα,	faire ces choses et les choses telles,
Αἰσχίνη	Eschine
(ὧν κατορθουμένων μέν,	(lesquelles étant-menées-droit,
ὦ γῆ καὶ θεοί,	ô terre et dieux,
ὑπῆρχεν	il était-possible *à nous*
ἀναμφισβητήτως	sans-contredit
εἶναι μεγίστοις,	d'être très-grands,
καὶ τὸ δικαίως προσῆν·	et le *être grands* justement était-joint;
συμβάντων δὲ ὡς ἑτέρως,	mais étant-arrivées autrement,
τὸ εὐδοκιμεῖν γοῦν περίεστι,	le jouir-de-l'estime du-moins reste
καὶ τὸ μηδένα μέμφεσθαι	et le personne *ne* blâmer
τὴν πόλιν,	la ville,
καὶ τὴν προαίρεσιν αὐτῆς,	et le système d'elle,

τὴν τύχην κακίζειν, τὴν οὕτω τὰ πράγματα κρίναντα) · οὐ μὰ Δί' οὐκ ἀποστάντα τῶν συμφερόντων τῇ πόλει, μισθώσαντα δ' αὐτὸν τοῖς ἐναντίοις, τοὺς ὑπὲρ τῶν ἐχθρῶν καιρούς, ἀντὶ τῶν ὑπὲρ τῆς πατρίδος, θεραπεύειν · οὐδὲ τὸν μὲν πράγματα ἄξια τῆς πόλεως ὑποστάντα λέγειν καὶ γράφειν, καὶ μένειν ἐπὶ τούτων προελόμενον βασκαίνειν, ἐὰν δέ τις ἰδίᾳ τι λυπήσῃ, τοῦτο μεμνῆσθαι καὶ τηρεῖν, οὐδ' ἡσυχίαν ἄγειν ἄδικον καὶ ὕπουλον, ὡς σὺ ποιεῖς πολλάκις. Ἔστι γάρ, ἔστιν ἡσυχία δικαία καὶ συμφέρουσα τῇ πόλει, ἣν οἱ πολλοὶ τῶν πολιτῶν ὑμεῖς ἁπλῶς ἄγετε. Ἀλλ' οὐ ταύτην οὗτος ἄγει τὴν ἡσυχίαν · πολλοῦ γε καὶ δεῖ · ἀλλ' ἀποστάς, ὅταν αὐτῷ δόξῃ, τῆς πολιτείας (πολλάκις δὲ δοκεῖ), φυλάττει ὁπηνίχ' ὑμεῖς ἐστὲ μεστοὶ τοῦ συνεχῶς λέγοντος, ἢ παρὰ τῆς τύχης τι συμβέβηκεν ἐναντίωμα, ἢ ἄλλο τι

tune, qui a décidé ainsi des affaires : oui, voilà ce que doit faire un bon citoyen, et non se détacher des intérêts de la patrie, se vendre aux ennemis de l'État, pour les servir à son préjudice; ni déchirer un citoyen qui s'est fait une règle de ne rien dire, de ne rien proposer qui ne soit digne de la république; ni chercher l'occasion de venger la moindre offense personnelle; ni se retrancher, comme vous faites si souvent, dans un loisir coupable et perfide. Il est sans doute, Athéniens, il est un loisir honnête et même utile à la république; tel est celui dont plusieurs de vous jouissent avec simplicité; mais ce n'est pas là celui d'Eschine, il s'en faut beaucoup. Éloigné des affaires quand il lui plaît, ce qui n'est pas rare, il épie le moment où vous êtes fatigués d'un orateur qui parle sans cesse, et où, par un caprice de la fortune, nous éprouvons quelqu'un de ces accidents qui

ἀλλὰ κακίζειν τὴν τύχην,	mais accuser la fortune,
τὴν κρίναντα οὕτω τὰ πράγματα) ·	celle ayant-décidé ainsi les affaires);
οὐ μὰ Δία οὐκ	non par Jupiter
ἀποστάντα	se-tenant-loin
τῶν συμφερόντων τῇ πόλει,	des choses important à la ville,
μισθώσαντα δὲ αὐτὸν	et ayant-donné-à-gages lui-même
τοῖς ἐναντίοις,	aux adversaires,
θεραπεύειν τοὺς καιροὺς	servir les occasions
ὑπὲρ τῶν ἐχθρῶν,	pour les ennemis,
ἀντὶ τῶν ὑπὲρ τῆς πατρίδος·	au-lieu de celles pour la patrie;
οὐδὲ βασκαίνειν μὲν	ni calomnier
τὸν ὑποστάντα	celui ayant-entrepris
λέγειν καὶ γράφειν	de dire et d'écrire
πράγματα ἄξια τῆς πόλεως,	des choses dignes de la ville,
καὶ προελόμενον	et ayant-décidé
μένειν ἐπὶ τούτων,	de rester dans elles,
ἐὰν δέ τις ἰδίᾳ	mais si quelqu'un en-particulier
λυπήσῃ τι,	l'a blessé *en* quelque chose,
μεμνῆσθαι τοῦτο	se souvenir de cela
καὶ τηρεῖν·	et *le* conserver;
οὐδὲ ἄγειν ἡσυχίαν	ni garder un repos
ἄδικον καὶ ὕπουλον,	injuste et perfide,
ὡς σὺ ποιεῖς πολλάκις.	comme toi tu fais souvent.
Ἔστι γάρ, ἔστιν ἡσυχία	Car il est, il est un repos
δικαία καὶ συμφέρουσα τῇ πόλει	juste et étant-utile à la ville
ἣν ὑμεῖς οἱ πολλοὶ	que vous les nombreux
τῶν πολιτῶν	des citoyens
ἄγετε ἁπλῶς.	gardez simplement.
Ἀλλὰ οὗτος	Mais celui-ci
οὐκ ἄγει ταύτην τὴν ἡσυχίαν·	ne garde pas ce repos;
δεῖ γε καὶ πολλοῦ·	il s'en faut certes encore de beaucoup
ἀλλὰ ἀποστὰς	mais se-tenant-loin
τῆς πολιτείας	de l'administration
ὅταν δόξῃ αὐτῷ	quand il a-paru-bon à lui
(δοκεῖ δὲ πολλάκις),	(et il paraît-bon souvent),
φυλάττει	il observe
ὁπηνίκα ὑμεῖς ἐστὲ μεστοὶ	quand vous vous êtes pleins
τοῦ λέγοντος συνεχῶς,	de celui parlant continuellement,
ἤ τι ἐναντίωμα συμβέβηκε	ou *que* quelque revers est arrivé
παρὰ τῆς τύχης	de-la-part de la fortune

δύσκολον γέγονε· πολλὰ δὲ τἀνθρώπινα· εἶτ' ἐπὶ τούτῳ τῷ καιρῷ ῥήτωρ ἐξαίφνης ἐκ τῆς ἡσυχίας, ὥσπερ πνεῦμα, ἀνεφάνη· καὶ πεφωνασκηκώς, καὶ συνειλοχὼς ῥήματα καὶ λόγους, συνείρει τούτους σαφῶς καὶ ἀπνευστί, ὄνησιν μὲν οὐδεμίαν φέροντας, οὐδ' ἀγαθοῦ κτῆσιν οὐδενός, συμφορὰν δὲ τῷ τυχόντι τῶν πολιτῶν καὶ κοινὴν αἰσχύνην.

Καίτοι ταύτης τῆς μελέτης, Αἰσχίνη, καὶ τῆς ἐπιμελείας, εἴπερ ἐκ ψυχῆς δικαίας ἐγίγνετο, καὶ τὰ τῆς πατρίδος συμφέροντα προῃρημένης, τοὺς καρποὺς ἔδει καλοὺς καὶ γενναίους καὶ πᾶσιν ὠφελίμους εἶναι, συμμαχίας πόλεων, πόρους χρημάτων, ἐμπορίου κατασκευήν, νόμων συμφερόντων θέσεις, τοῖς ἀποδειχθεῖσιν ἐχθροῖς ἐναντιώματα. Τούτων γὰρ ἁπάντων ἦν ἐν τοῖς ἄνω χρόνοις ἐξέτασις, καὶ ἔδωκεν ὁ παρελθὼν χρόνος πολ-

n'arrivent que trop dans le cours de la vie; lorsqu'il a trouvé cette occasion, il sort à l'instant de son repos, comme un vent qui s'élève: devenu tout-à-coup ministre, il monte à la tribune, et, nous déployant sa belle voix, il nous débite, d'un ton ferme et tout d'une haleine, de longues tirades de mots, qui, sans produire aucun bien, ni procurer aucun avantage, causent la perte des particuliers et la honte de la république.

